# ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΠΑΪΣΙΟΥ ΤΟΥ ΑΓΙΟΡΕΙΤΟΥ

ΙΕΡΟΝ ΗΣΥΧΑΣΤΗΡΙΟΝ
«ΕΥΑΓΓΕΛΙΣΤΗΣ ΙΩΑΝΝΗΣ Ο ΘΕΟΛΟΓΟΣ»
ΒΑΣΙΛΙΚΑ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

Α΄ Ἀνατύπωση Ἰούνιος 2015

© Ἱερὸν Ἡσυχαστήριον
«Εὐαγγελιστὴς Ἰωάννης ὁ Θεολόγος»
570 06 ΒΑΣΙΛΙΚΑ ΘΕΣΣΑΛΟΝΙΚΗΣ
Τηλ.: 23960 41320 Fax: 23960 41594

# ΠΕΡΙΕΧΟΜΕΝΑ

*Πρόλογος*........................................................ 11

*Πατριαρχικὴ καὶ Συνοδικὴ Πρᾶξις*...................................... 15

*Ἔγκρισις*........................................................ 19

Ἐν τῷ Μικρῷ Ἑσπερινῷ.............................................. 21

Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ............................................ 25

Εἰς τὸν Ὄρθρον.................................................... 39

Εἰς τὴν Θείαν Λειτουργίαν........................................... 69

Παρακλητικὸς Κανὼν................................................ 75

*Μουσικὸν Παράρτημα*.............................................. 95

## Ἀπολυτίκιον.
### Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῆς ἐνθέου ἀγάπης τὸ πῦρ δεξάμενος,
ὑπερβαλλούσῃ ἀσκήσει ἐδόθης ὅλος Θεῷ
καὶ παράκλησις πολλῶν ἀνθρώπων γέγονας,
λόγοις θείοις νουθετῶν, προσευχαῖς θαυματουργῶν,
Παΐσιε θεοφόρε· καὶ νῦν πρεσβεύεις ἀπαύστως
ὑπὲρ παντὸς τοῦ κόσμου, Ὅσιε.

## Κοντάκιον.
### Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Ἀγγελικῶς ἐπὶ τῆς γῆς πολιτευσάμενος
καὶ δι᾽ ἀγάπης λάμψας, ὅσιε Παΐσιε,
μοναζόντων μέγα στήριγμα ἀνεδείχθης,
τῶν πιστῶν χειραγωγὸς πρὸς βίον ἅγιον,
οἰκουμένης δὲ ἐντρύφημα γλυκύτατον·
διὸ κράζομεν· Χαίροις, Πάτερ παγκόσμιε.

## Μεγαλυνάριον.

Χαίροις ἡσυχίας ὁ ἐραστὴς
καὶ τῆς εὐσπλαγχνίας τοῦ Κυρίου ὁ μιμητής·
θείας γὰρ ἀγάπης πληρούμενος ἐδόθης
Θεῷ καὶ τοῖς ἀνθρώποις, πάτερ Παΐσιε.


Ὁ ἍΓΙΟΣ
ΠΑΪΣΙΟΣ
Ὁ ἉΓΙΟΡΕΊΤΗΣ
Ἀγάπη κ
ταπείνωση
σ' αὐτὴν τὴν
συχνότητα
ἐργάζε-
ται ὁ
Θεός

# ΠΡΟΛΟΓΟΣ

Τὴν 13ην Ἰανουαρίου τοῦ σωτηρίου ἔτους 2015, ἡμέραν τῆς ἑβδομάδος Τρίτην καὶ περὶ τὰς πρώτας μεταμεσημβρινὰς ὥρας αὐτῆς, ἀνεκοινώθη ἀπὸ τοῦ πανσέπτου ἐν Κωνσταντινουπόλει Οἰκουμενικοῦ Πατριαρχείου τὸ εὐφρόσυνον καὶ χαροποιὸν μήνυμα ὅτι ἡ Αὐτοῦ Θειοτάτη Παναγιότης, ὁ Οἰκουμενικὸς ἡμῶν Πατριάρχης κ.κ. Βαρθολομαῖος καὶ τὰ σεβάσμια Μέλη τῆς περὶ Αὐτὸν Ἁγίας καὶ Ἱερᾶς Συνόδου προέβησαν εἰς τὴν διακήρυξιν τῆς ἁγιότητος καὶ τῆς ἐγγραφῆς εἰς τὸ Ἑορτολόγιον τῆς Ἁγίας Ὀρθοδόξου Ἐκκλησίας ἡμῶν τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Παϊσίου τοῦ Ἁγιορείτου.

Ὡς ἦτο ἑπόμενον, τὸ εὐσεβὲς πλήρωμα τῆς Ἐκκλησίας μας ἐπὶ τῷ ἱερῷ τούτῳ ἀκούσματι ἠγαλλιάσατο σφόδρα καὶ ἐδόξασε τὸν Θεὸν «*τὸν θαυμαστὸν ἐν τοῖς ἁγίοις αὐτοῦ*», διὰ τὴν τοιαύτην οὐράνιον εὐλογίαν, δεδομένου ὅτι πρὸ πολλοῦ ἀνέμενε καὶ τήν, κατὰ τὴν κρατοῦσαν ἐκκλησιαστικὴν παράδοσιν καὶ τάξιν, Πρᾶξιν τῆς ἁρμοδίας ἐκκλησιαστικῆς Συνόδου, δι᾽ ἧς διακηρύσσει Ἱεροκανονικῶς τὴν διαπιστωμένην ἁγιότητα τοῦ ἐν λόγῳ Ὁσίου καὶ ὁρίζει ὅπως ἑορτάζηται πανορθοδόξως ἡ ἐτησία μνήμη αὐτοῦ τὴν 12ην Ἰουλίου, ἡμέραν τῆς ὁσιακῆς κοιμήσεώς του εἰς τὸ ἐν Σουρωτῇ Βασιλικῶν Ἱερὸν Ἡσυχαστήριον Ἁγίου Ἰωάννου τοῦ Θεολόγου, ὅπου καὶ ἀναπαύεται «*τὸ πολυπαθὲς λείψανον αὐτοῦ*».

Ὁ Ὅσιος Παΐσιος ὁ Ἁγιορείτης εἶναι ὁ τελευταῖος Ἅγιος, ὁ ὁποῖος προσετέθη εἰς τὸν οὐδέποτε συμπληρούμενον, μέχρι τῆς συντελείας τῶν αἰώνων, ἁγιολογικὸν κατάλογον τῆς κατ᾽ Ἀνατολὰς

Ὀρθοδόξου Ἐκκλησίας ἡμῶν. Ἔζησε κατὰ τὸν παρελθόντα 20ὸν αἰῶνα (1924-1994), ὡς ἐπίγειος ἄγγελος καὶ οὐράνιος ἄνθρωπος. «*Ὁ Γέροντας ἐκινεῖτο μὲ ἄνεση μεταξὺ γῆς καὶ οὐρανοῦ, ἐμπαίζων ἀλλὰ καὶ οἰκτίρων τὸν διάβολο καὶ «συναλιζόμενος» μὲ πλειάδα ἁγίων. Ἀποκαλύπτεται πάμπτωχος, ἀλλὰ μὲ πλουσιώτατες εὐλογίες ποὺ κατεβάζει μὲ τὴν προσευχή του ἀπὸ τὸν οὐρανὸ στὴν γῆ. Ἀδύναμος καὶ ἀσθενής, ἀλλὰ πανίσχυρος καὶ πυρακτωμένος μὲ τὴν Χάρι τοῦ Θεοῦ, ποὺ ἐνώπιόν του ὑποχωροῦν ἀκόμη καὶ οἱ φυσικοὶ νόμοι· μοναχὸς ἐρημοπολίτης, ἀλλὰ πολὺ κοντὰ στὶς ἀνάγκες τῶν ἀνθρώπων· ἀσκητὴς αὐστηρὸς στὸν ἑαυτό του, ἀλλὰ φιλάνθρωπος μέχρις αὐτοθυσίας ὑπὲρ τῶν ἀδυνάτων, τῶν ἀσθενῶν καὶ τῶν ἀδικουμένων*»*.

Πρόκειται περὶ μεγάλης συγχρόνου ὁσιακῆς καὶ ἀσκητικῆς μορφῆς, ἥτις ἔφθασεν εἰς ὕψη ἀρετῆς καὶ ἁγιότητος, διότι ἦτο θεοφόρος, «*ἀνὴρ ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος*», μιμητὴς τῶν σπουδαίων ἀσκητῶν τῆς ἀρχαίας Ἐκκλησίας, «*ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσεν*». Ἦτο ἐραστὴς τῆς ἡσυχίας. Ἠγάπα τὴν νηστείαν, τὴν ἀγρυπνίαν, τὴν προσευχήν, τὴν μελέτην, τὰς γονυκλισίας, τὴν κακοπάθειαν, τὴν ἄσκησιν. Ἠδύνατο νὰ ἐπαναλάβῃ τοὺς λόγους τοῦ Ἀποστόλου τῶν ἐθνῶν Παύλου: «*ὑποπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, ἵνα μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι*» (*Α΄ Κορ.* 9, 27). Δι᾽ ὅλων τῶν πνευματικῶν ἀγώνων καὶ τῶν ἐμπόνων παλαισμάτων του εἰς τὰ σύγχρονα καὶ κατηξιωμένα μοναστικὰ κέντρα καὶ ἐρημητήρια τοῦ οὐρανογείτονος Ἄθωνος, τοῦ Θεοβαδίστου Ὄρους Σινᾶ καὶ ἀλλαχοῦ, κυρίως, ὅμως, διὰ τῆς Χάριτος τοῦ Παναγίου Πνεύματος κατώρθωσε νὰ φθάσῃ εἰς τὴν κατάκτησιν τοῦ ἀκροτάτου τῶν ἐφετῶν καὶ οὕτω νὰ δοξάσῃ τὸν Θεὸν καὶ νὰ δοξασθῇ ὑπὸ τοῦ Θεοῦ, Ὅστις βεβαιώνει: «*τοὺς δοξάζοντάς με δοξάσω*» (*Α΄ Βασ.* 2, 30). Εἰς αὐτὴν τὴν δόξαν καὶ τὸν ἔπαινον τοῦ θεοφόρου καὶ θαυματουργοῦ Ὁσίου προτρέπεται τὸ

* Ἱερομον. Ἰσαάκ: *Βίος Γέροντος Παϊσίου τοῦ Ἁγιορείτου*, σελ. 23.

εὐσεβὲς πλήρωμα τῆς Ἁγίας ἡμῶν Ἐκκλησίας ὅπως συμμετάσχῃ ἀπὸ τοῦ νῦν μέχρι τῆς συντελείας τῶν αἰώνων «*ἐν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς*», συμφώνως πρὸς τὴν κρατοῦσαν μακραίωνα Ἐκκλησιαστικήν μας παράδοσιν, ἥτις ἄρχεται ἀπὸ τὸ ἑσπέρας τῆς Μεγάλης Πέμπτης, κατὰ τὴν ὁποίαν οἱ Ἀπόστολοι τοῦ Χριστοῦ, μετὰ τὸν Μυστικὸν Δεῖπνον, «*ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν*» (*Ματθ.* 26, 30).

Συνεπῶς, ἐφ᾽ ὅσον ἤρξατο καὶ ἐπισήμως ἡ τιμὴ καὶ ὁ πανηγυρικὸς ἑορτασμὸς τῆς μνήμης τοῦ νέου Ὁσίου μας, ἐκρίθη ἀπαραίτητος ἡ ὕπαρξις Ἀσματικῆς Ἀκολουθίας. Τὴν ἀνάγκην αὐτὴν ἐκάλυψεν ἡ εὐλογημένη Ἀδελφότης τῶν Μοναστριῶν τοῦ Ἱεροῦ Ἡσυχαστηρίου Ἁγίου Ἰωάννου τοῦ Θεολόγου. Ἡ Ἀδελφότης αὕτη τῶν Μοναζουσῶν ἔζησεν ἐντόνως καὶ εὐεργετικῶς τὴν σωματικὴν παρουσίαν τοῦ Ὁσίου, ἐποτίσθη διὰ τῶν ναμάτων τῆς Ἁγιοπνευματικῆς διδασκαλίας του, ἐνεπνεύσθη ἀπὸ τὴν Χριστομίμητον βιοτήν του, καὶ διὰ τῶν πεφωτισμένων ὑποδείξεών του ἐστερεώθη εἰς τὴν ἀσκητικὴν ζωὴν καὶ τὴν πλήρη ἀφοσίωσιν εἰς τὸ ἰδεῶδες τοῦ Ὀρθοδόξου Μοναχισμοῦ.

Ἡ ἐν λόγῳ Ἀσματικὴ Ἀκολουθία τυχοῦσα τῆς ἐγκρίσεως τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, δυνάμει τοῦ ὑπ᾽ ἀρθ. Πρωτ. 148/1072/18.05.2015 ἐγγράφου Αὐτῆς, ἐκδίδοται μετὰ πλείστης χαρᾶς καὶ καυχήσεως ἐν Κυρίῳ, γηθοσύνως δὲ προσφέρεται αὕτη πρὸς προσευχητικὴν καὶ ὑμνολογικὴν χρῆσιν παντὶ τῷ πληρώματι τῆς Ἁγιωτάτης ἡμῶν Ἐκκλησίας.

Ὅθεν, διαπύρως εὐχόμεθα ὅπως ὁ Πανάγιος Θεός, διὰ πρεσβειῶν τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Παϊσίου τοῦ Ἁγιορείτου, χαρίζηται εἰς ἅπαντας τοὺς εὐσεβεῖς καὶ φιλαγίους Ὀρθοδόξους Χριστιανούς, Κληρικούς, Μοναχούς, Μοναστρίας καὶ Λαϊκούς, ὑγίειαν ψυχῆς καὶ σώματος, ἀναφαίρετον χαρὰν καὶ εὐλογίαν, τὴν ἐκπλήρωσιν παντὸς ἱεροῦ καταθυμίου καὶ τῶν αἰωνίων ἀγαθῶν τὴν ἀπόλαυσιν, ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς Βασιλείας τῶν Οὐρανῶν.

Τὸν δὲ θεοφόρον νέον Ὅσιον Πατέρα ἡμῶν, τὸν εὑρόντα χάριν καὶ παρρησίαν ἐνώπιον Κυρίου, οἱ τιμῶντες τὴν μνήμην αὐτοῦ παρακαλοῦμεν, ὅλῃ ψυχῇ καὶ διανοίᾳ καὶ καρδίᾳ καὶ χείλεσι:

*«Πρόσδεξαι δεήσεις σῶν ἱκετῶν,*
*τῶν ἀπὸ περάτων εἰς τὸν τάφον σου τὸν σεπτὸν*
*πίστει ἐρχομένων καὶ ἀποτιθεμένων*
*τοὺς πόνους καὶ τὰς θλίψεις, Πάτερ Παΐσιε».*

**Ἐν Πολυγύρῳ τῇ 21η Μαΐου 2015**

**Ο ΜΗΤΡΟΠΟΛΙΤΗΣ**



**† Ο ΚΑΣΣΑΝΔΡΕΙΑΣ ΝΙΚΟΔΗΜΟΣ**



Ἀριθμ. Πρωτ. 13

ΠΑΤΡΙΑΡΧΙΚΗ ΚΑΙ ΣΥΝΟΔΙΚΗ ΠΡΑΞΙΣ ΑΝΑΓΡΑΦΗΣ
ΕΙΣ ΤΟ ΑΓΙΟΛΟΓΙΟΝ ΤΗΣ ΟΡΘΟΔΟΞΟΥ ΕΚΚΛΗΣΙΑΣ
ΤΟΥ ΟΣΙΟΥ ΠΑΪΣΙΟΥ ΤΟΥ ΑΓΙΟΡΕΙΤΟΥ

*«Καὶ ἔσται ὁ ἀνήρ, ὃν ἂν ἐκλέξηται Κύριος, οὗτος ἅγιος»*
(*Ἀριθμ. ις´* 7)

Ὄρος τοῦ Θεοῦ, ὡς ἀληθῶς· Ὄρος Ἅγιον καὶ κλῆρος τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου ὁ οὐρανογείτων Ἄθως· στάδιον πνευματικῶν ἀγώνων, τόπος ἀσκήσεως, μετανοίας καὶ προσευχῆς καὶ ἐργαστήριον ἁγιότητος τῶν ἐν αὐτῷ ἐνασκουμένων ἀνὰ τοὺς αἰῶνας ἀναριθμήτων ἀσκητῶν, μιγάδων καὶ μοναστῶν, ἀνωνύμων καὶ ἐπωνύμων· καύχημα καὶ στέφανος τῆς Μητρὸς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας τῆς Κωνσταντινουπόλεως, ὑπὸ τὴν κανονικὴν καὶ πνευματικὴν δικαιοδοσίαν καὶ διαρκῆ ἐκκλησιαστικὴν μέριμναν καὶ φροντίδα αὐτῆς· ἀλλὰ καὶ ἀέναος προσευχητικὴ δέησις ὑπὲρ τῆς Οἰκουμένης μυστικῶς ἀρδευομένης ὑπὸ τῶν ἀδιαλείπτως νυχθημερὸν ἀναπεμπομένων ὑπὸ μοναστῶν εὐχῶν καὶ δεήσεων *«ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν»* τῶν ὅπου γῆς Ὀρθοδόξων Χριστιανῶν ἀλλὰ καὶ *«ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου καὶ εὐσταθείας τῶν Ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν»*. Πλεῖστοι ὅσοι οἱ θεοφιλῶς ἀσκήσαντες καὶ τελειωθέντες, μετὰ τὸν πρῶτον γνωστὸν Ἅγιον Πέτρον τὸν Ἀθωνίτην, ἐν αὐτῷ, οἵτινες ἀνεδείχθησαν σκεύη ἐκλεκτὰ τοῦ Ἁγίου Πνεύματος, διὰ τῶν ἀσκητικῶν ἱδρώτων καὶ θεοφιλῶν καμάτων, κοσμηθέντες δὲ διὰ ποικίλων ἐκτάκτων θείων χαρισμάτων ὡς τὸ τῆς προοράσεως, τῆς θαυματουργίας, τῆς διακρίσεως τῶν

πνευμάτων, τῆς ἀπλανοῦς πνευματικῆς καθοδηγίας, τοῦ παρακλητικοῦ λόγου καὶ πλείστων ἄλλων, κοσμοῦντες νῦν τὸν πολυάστερον οὐρανὸν τοῦ καθ' ἡμᾶς Ὀρθοδόξου ἑορτολογίου καὶ γενόμενοι αἰώνιοι ὁδηγοὶ πρὸς τὴν Βασιλείαν τῶν Οὐρανῶν.

Αὐτοῦ τούτου τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν διαβεβαιώσαντος διὰ τοῦ ἀνθρώπου Αὐτοῦ τὸν ἱερέα Ἠλεὶ καὶ διαχρονικῶς πάντα πιστεύοντα τῷ Νόμῳ Αὐτοῦ *«τοὺς δοξάζοντάς με δοξάσω»*, ὡς ἐν τῇ βίβλῳ Α´ τῶν Βασιλειῶν, κεφαλαίῳ β´, στίχῳ λ´ γέγραπται, ἡ καθ' ἡμᾶς Μήτηρ Ἁγία τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία ἀρχῆθεν τῆς ἐν τῷ κόσμῳ σωτηριώδους στρατείας αὐτῆς οὐκ ἐπαύσατο ἀναγνωρίζειν τοιαῦτα θεῖα καὶ ἅγια σκεύη τοῦ Πνεύματος, ἀγγέλους μᾶλλον εἰπεῖν ἢ ἀνθρώπους, δοξάσαντας τρόποις, λόγοις καὶ ἔργοις ποικίλοις τὸν ἐπουράνιον Πατέρα, ὅθεν καὶ ἐδόξασε καὶ δοξάζει καὶ ἄχρι τέλους αἰώνων θέλει δοξάζειν αὐτοὺς ὡς ἐμπρέπει Ἁγίοις.

Παύλου δὲ τοῦ Ἀποστόλου διακηρύττοντος ἐν τῇ πρὸς Ρωμαίους Ἐπιστολῇ αὐτοῦ, κεφαλαίῳ ε´, στίχῳ κ´, *«οὗ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ Χάρις»* καὶ τῆς πραγματικότητος ταύτης ἀκαταπαύστως καὶ κατὰ τὴν σύγχρονον ἐποχὴν βιουμένης ὑπὸ τῆς Ἐκκλησίας διὰ τῆς ἀπειραρίθμου στρατιᾶς τῶν ἀναδεικνυομένων καθ' ἑκάστην, γνωστῶν καὶ ἐν πολλοῖς ἀφανῶν, ὁσίων καὶ ἁγίων μορφῶν, διὰ τῆς ἄρσεως τοῦ προσωπικοῦ αὐτῶν σταυροῦ ἑπομένων τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, τῷ διὰ τοῦ σταυρικοῦ Αὐτοῦ θανάτου καταργήσαντι τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου καὶ διὰ τῆς ἐνδόξου Αὐτοῦ Ἀναστάσεως δωρησαμένῳ τὴν αἰώνιον ζωὴν παντὶ τῷ βουλομένῳ, ἡμεῖς, διαπιστοῦντες τὴν τοιαύτην ἀδιάκοπον θείαν εὐεργεσίαν τοῦ Ἀρχηγοῦ τῆς Πίστεως ἡμῶν σὺν τῷ Ἱερῷ Ψαλμῳδῷ ἐκπληττόμενοι ἀναφωνοῦμεν *«Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια»* (Ψαλμὸς ος´, στ. ιδ´-ιε´) καὶ *«Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα Σου καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων Σου»*.

Τοιοῦτος γὰρ συνεχιστὴς τῆς παραδόσεως ἁγιότητος καὶ κενωτικῆς προσφορᾶς τῆς Ἁγιωτάτης Ἐκκλησίας τῆς Κωνσταντινουπόλεως, τοῦ ἤθους καὶ τοῦ φρονήματος αὐτῆς, ἀνεδείχθη, μεταξὺ

πολλῶν ἄλλων ἀνωνύμων ἐν ὄρεσι καὶ ἀποκρήμνοις σπηλαίοις καὶ ὀπαῖς τῆς γῆς ἐνασκησαμένων καὶ τελειωθέντων ἁγιορειτῶν ἀσκητῶν, ἐπ᾽ ἐσχάτων τῶν καθ᾽ ἡμᾶς χρόνων θεοφόρος ἀσκητὴς καὶ πολυχαρισματικὸν ὄργανον τῆς Παναγίας Τριάδος ὁ ἐκ τῆς Ἁγιοτόκου Καππαδοκίας μὲν ἕλκων τὴν κατὰ σάρκα καταγωγήν, ἐν δὲ τῷ Περιβολίῳ τῆς Κυρίας ἡμῶν Θεοτόκου τὸν μονήρη βίον ἀσκήσας ἐν ἀγῶσι καὶ ἐν δάκρυσι πολλοῖς ὁσιώτατος Μοναχὸς Παΐσιος, κατὰ κόσμον Ἀρσένιος Ἐζνεπίδης, δι᾽ ἐκτάκτων χαρισμάτων κοσμηθεὶς παρὰ Κυρίου, στῦλος ἀληθὴς καὶ παρακλήτωρ πιστῶν ἀναδειχθεὶς καὶ δοξάσας διὰ τοῦ θαυμαστοῦ βίου αὐτοῦ τὸν Πατέρα ἡμῶν τὸν ἐν οὐρανοῖς. Τοιαύτης εὐαγγελικῆς τελειότητος, σπουδῇ καὶ ἀρετῶν συντονίᾳ, ἠξιώθη μεμαρτυρημένως ὑπὸ τῆς ἀλανθάστου συνειδήσεως τῶν πιστῶν ὁ ἐκ χώρας Καππαδοκῶν Μοναχὸς Παΐσιος, τοὐπίκλην Ἐζνεπίδης, διανύσας ἐπὶ ἥμισυ καὶ πλέον αἰῶνος τὴν ἀσκητικὴν καὶ ἐν πτωχείᾳ καὶ στερήσεσι τρίβον, τὸ μοναχικὸν τριβώνιον περιβληθεὶς ἐν Ὄρει τῷ Ἁγίῳ· ἀντιταχθεὶς διὰ βίου παντὸς τῷ κοσμοκράτορι τοῦ αἰῶνος τούτου· μαρτυρήσας τὴν καλὴν ὁμολογίαν καὶ τὴν ἀμώμητον Ὀρθόδοξον πίστιν κρατύνας· τὴν Ἐκκλησίαν καὶ τὴν δόξαν αὐτῆς λαμπρύνας ὅτι *«πύλαι ᾍδου οὐ κατισχύσουσιν αὐτῆς»*· ἀναλωθεὶς ἔργῳ ἐμπράκτῳ καὶ πράξει ἐλλόγῳ ἐν τῇ ὑπακοῇ τοῦ Χριστοῦ καὶ τῇ ἀγάπῃ πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν πλησίον. Οὗτος, ὁσιότητι καὶ ἁγιότητι βίου πολιτευθείς, τύπος τοῦ κατὰ Χριστὸν πολιτεύματος καὶ ἀρετῆς ζῶσα εἰκὼν ἀποβάς, διδαχῇ πλήθους ὀρθοδόξων διδάσκαλος καὶ πνευματικὸς καθοδηγητὴς καταστάς, ἑαυτὸν παρέστησε καὶ ἀνέδειξεν, εἰς ὑψηλὰ πνευματικὰ μέτρα ἀνελθών, σκεῦος τοῦ Παναγίου Πνεύματος, τιμηθεὶς δὲ παρὰ Θεοῦ διὰ τοῦ χαρίσματος ἰάσεως ἀσθενῶν καὶ πασχόντων.

Νῦν δὲ ὁσημέραι πληθυνομένης τῆς ἐκ τοῦ τάφου τοῦ μακαριστοῦ ἀσκητοῦ ἐκχεομένης εὐλογίας καὶ ἐπιτελουμένων συνεχῶς θαυμαστῶν σημείων καὶ θεραπειῶν σωματικῶν καὶ ψυχικῶν νόσων, ἡ περιρρέουσα πίστις πάντων τῶν ἀπειραρίθμων Ὀρθοδόξων πιστῶν παρεκίνησε τὴν ἡμετέραν Μετριότητα, ἀξιωθεῖσαν ὅπως ἰδίοις ὄμμασι καὶ αἰσθήσεσι γνωρίσῃ καὶ πνευματικῶς συνδεθῇ

μετὰ τοῦ Μοναχοῦ Παϊσίου καὶ αὐτοφὶ διαπιστώσῃ τὴν γενικὴν ἐκκλησιαστικὴν συνείδησιν περὶ τῆς ἁγιότητος τοῦ ἐκλεκτοῦ τούτου τοῦ Θεοῦ, μετ' ἐπισταμένην μελέτην καὶ σχετικὴν εἰσήγησιν τῆς Συνοδικῆς Κανονικῆς Ἐπιτροπῆς, ἵνα μετὰ τῶν περὶ ἡμᾶς Ἱερωτάτων Μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν, Συνοδικῶς θεσπίσωμεν καὶ ὁρίσωμεν καὶ ἐν Ἁγίῳ διακελευσώμεθα Πνεύματι, ὅπως ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς εἰς αἰῶνα τὸν ἅπαντα ὁ εἰρημένος ἐν τῷ Ἁγιωνύμῳ Ὄρει τοῦ Ἄθω ἀσκητικῶς τὴν πορείαν τοῦ βίου βαδίσας Μοναχὸς Παΐσιος συναριθμῆται τοῖς Ὁσίοις Πατράσι καὶ Ἁγίοις τῆς Μιᾶς, Ἁγίας, Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας, ἐτησίαις ἱεροτελεστίαις τιμώμενος καὶ ὕμνοις ἐγκωμίων γεραιρόμενος τῇ ιβ΄ τοῦ μηνὸς Ἰουλίου, καθ' ἣν ἡμέραν τὸ πνεῦμα Αὐτοῦ τῷ Δικαιοκρίτῃ Κυρίῳ τῆς Ζωῆς εἰρηνικῶς παρέθετο.

Εἰς ἔνδειξιν δὲ τούτου καὶ βεβαίωσιν ἐγένετο καὶ ἡ παροῦσα Πατριαρχικὴ ἡμῶν καὶ Συνοδικὴ Πρᾶξις, καταστρωθεῖσα μὲν καὶ ὑπογραφεῖσα ἐν τῷδε τῷ Ἱερῷ Κώδικι τῆς καθ' ἡμᾶς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἐν ἴσῳ δὲ ἀπαραλλάκτῳ σταλεῖσα τῇ Ἱερᾷ Κοινότητι τοῦ Ἁγίου Ὄρους, πρὸς ἐπ' ἐκκλησίας ἀνάγνωσιν καὶ κατάθεσιν εἶτα ἐν τοῖς Ἀρχείοις αὐτῆς.

Ἐν ἔτει σωτηρίῳ ͵βιε΄, κατὰ μῆνα Ἰανουάριον ιβ΄
ΕΠΙΝΕΜΗΣΕΩΣ Η΄

† Ὁ Πατριάρχης Κωνσταντινουπόλεως Βαρθολομαῖος ἀποφαίνεται

† Ὁ Σικάγου Ἰάκωβος
† Ὁ Τορόντο Σωτήριος
† Ὁ Σύμης Χρυσόστομος
† Ὁ Μεξικοῦ Ἀθηναγόρας
† Ὁ Ἀρκαλοχωρίου Ἀνδρέας
† Ὁ Λέρου, Καλύμνου καὶ Ἀστυπαλαίας Παΐσιος
† Ὁ Ἑλβετίας Ἰερεμίας
† Ὁ Κρήτης Εἰρηναῖος
† Ὁ Βοστώνης Μεθόδιος
† Ὁ Γορτύνης καὶ Ἀρκαδίας Μακάριος
† Ὁ Βελγίου Ἀθηναγόρας
† Ὁ Κυδωνιῶν Ἀθηναγόρας

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

# Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ
## ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

Δ/νσις: Ἰωάννου Γενναδίου 14 - 115 21, Ἀθῆναι
Τηλ. 210-7272.204, Fax 210-7272.210, e-mail: contact@ecclesia.gr

Ἀριθμ. Πρωτ. 148
Διεκπ. 1072

Ἀθήνῃσι 18η Μαΐου 2015

Πρός
τόν Σεβασμιώτατον Μητροπολίτην
Κασσανδρείας κ. Νικόδημον
**Εἰς Πολύγυρον Χαλκιδικῆς**

Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,

Συνοδικῇ Ἀποφάσει, ληφθείσῃ ἐν τῇ Συνεδρίᾳ τῆς Διαρκοῦς Ἱερᾶς Συνόδου, τῆς 14ης μηνός Μαΐου ἐ.ἔ. καί εἰς ἀπάντησιν τοῦ ὑπ' ἀριθμ. πρωτ. 26/14.1.2015 ὑμετέρου ἐγγράφου, περί ἐγκρίσεως ὑπό τῆς Ἱερᾶς Συνόδου «Ἀσματικῆς Ἀκολουθίας μετά Παρακλητικοῦ Κανόνος τοῦ Ὁσίου καί Θεοφόρου Πατρός ἡμῶν Παϊσίου τοῦ Ἁγιορείτου», ποιηθείσης ὑπό τῶν Μοναζουσῶν τοῦ Ἱεροῦ Ἡσυχαστηρίου «Εὐαγγελιστής Ἰωάννης ὁ Θεολόγος» Σουρωτῆς Θεσσαλονίκης, γνωρίζομεν ὑμῖν, ὅτι κατόπιν καί τῆς ὑπ' ἀριθμ. 4/13.5.2015 εἰσηγήσεως τῆς Συνοδικῆς Ἐπιτροπῆς Θείας Λατρείας καί Ποιμαντικοῦ Ἔργου, ἐγκρίνεται ἡ ὡς εἴρηται Ἱερά Ἀκολουθία ὡς καλῶς ἔχουσα, καθ' ὅσον οὐδέν τό ἀπᾷδον πρός τε τά δόγματα καί τάς παραδόσεις τῆς καθ' ἡμᾶς Ἁγιωτάτης Ἐκκλησίας περιέχεται ἐν αὐτῇ.

Ὅθεν παρακαλοῦμεν ὑμᾶς, ὅπως κατά τήν τάξιν ὑποβάλητε πέντε (5) ἀντίτυπα τῆς ἐκδοθησομένης ἀνωτέρω Ἀκολουθίας διά τό Ἀρχεῖον τῆς Συνοδικῆς Ἐπιτροπῆς Θείας Λατρείας καί Ποιμαντικοῦ Ἔργου.

Ἐπί δέ τούτοις, κατασπαζόμενοι τήν ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ, διατελοῦμεν μετ' ἀγάπης.

† Ἀθηνῶν Ἱερώνυμος β΄, πρόεδρος

Ὁ Ἀρχιγραμματεύς
† ὁ Μεθώνης Κλήμης
Ὁ Μεθώνης Κλήμης

**Κοινοποίησις:**
Συνοδικήν Ἐπιτροπήν
Θείας Λατρείας καί Ποιμαντικοῦ Ἔργου
Π α ρ' ἡ μ ῖ ν

# ἘΝ ΤΩ͂Ι ΜΙΚΡΩ͂Ι ἙΣΠΕΡΙΝΩ͂Ι

**Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν Στίχους δ΄**
**καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια.**

**Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.**

Ὅσιε πάτερ Παΐσιε, ἀπὸ παιδὸς τῷ Θεῷ
τῆς καρδίας τὴν ἔφεσιν
ὁλοκλήρως ἔδωκας, καὶ τρωθεὶς θείῳ ἔρωτι
ὑπὲρ τὴν φύσιν ἀνδρείως ἤσκησας
καὶ δι᾿ ἱδρώτων πολλῶν ἐπότισας
Ὄρος τὸ Ἅγιον, καὶ Σινᾶ καὶ Στόμιον· διὸ καὶ νῦν
τοὺς σεπτοὺς ἀγῶνάς σου πάντες γεραίρομεν.

Πάτερ θεόπτα Παΐσιε, νηστείᾳ καὶ προσευχῇ
καθαρθεὶς τὴν διάνοιαν,
μύστης ἐχρημάτισας μυστηρίων τοῦ Πνεύματος·
καὶ ἠξιώθης ἰδεῖν, μακάριε,
κάλλος οὐράνιον τοῦ Παντάνακτος
καὶ δόξαν ἄῤῥητον, ὑπὲρ φῶς ἀστράπτουσαν ἡλιακόν,
ἥνπερ νῦν τρανότερον ὁρᾷς, ἀοίδιμε.

Ὅσιε πάτερ Παΐσιε, καταυγασθεὶς τὴν ψυχὴν
τῇ ἐλλάμψει τοῦ Πνεύματος,
ἑώρας σαφέστατα ὡς παρόντα τὰ μέλλοντα·
τὰ πόῤῥω ὥσπερ ἐγγὺς ἐγνώριζες
καὶ τὰς καρδίας ἀνθρώπων ἔβλεπες·
ἐξ οὐρανοῦ δὲ νῦν, ἱλέῳ σου ὄμματι καὶ συμπαθεῖ,
βλέψον πρὸς τοὺς χρῄζοντας τῆς βοηθείας σου.

Πάτερ θαυμαστὲ Παΐσιε, ἡ σὴ σεπτὴ βιοτὴ
καὶ τὰ μέγιστα θαύματα
ταχέως διέδραμον τὴν ὑφήλιον ἅπασαν·
εἰ καὶ βιῶσαι λάθρᾳ ἐσπούδασας,
ἡ θεία Χάρις ἐν σοὶ σκηνώσασα
ἄστρον σὲ ἔδειξεν ὄντως παμφαέστατον καθοδηγοῦν
τῶν πιστῶν τὸ πλήρωμα πρὸς βίον ἔνθεον.

**Δόξα. Ἦχος πλ. δ΄.**

Ἅπας ὁ βίος σου, Ὅσιε, βία φύσεως ὑπῆρξε
διὰ συνεχοῦς ἐπινοίας πολυτρόπων ἀσκήσεων·
ἐνίκα γὰρ τοὺς κόπους ἡ τῆς ψυχῆς σου φιλοτιμία,
ὅτι ἐθεώρεις σεαυτὸν χρεώστην
διὰ τὰς ἀμέτρους τοῦ Θεοῦ εὐεργεσίας.
Ὁ δὲ πλουσιόδωρος Δεσπότης σὲ τὸν εὐγνώμονα δοῦλον
μεγίστων χαρισμάτων ἐπλούτισε, πάτερ Παΐσιε,
τοῦ περιθάλψαι τετραυματισμένας ψυχὰς
ἐν τῇ καθ' ἡμᾶς γενεᾷ·
καὶ νῦν Αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.**

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

**Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.**
**Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Δεῦτε, οἱ μονασταί, Θεῷ τὴν δόξαν δῶμεν
τῷ δόντι ἡμῖν λύχνον πρὸς ἀκριβείας βίον,
τὸν ἀσκητὴν Παΐσιον.

Στίχ. **Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.**

Δεῦτε, καὶ οἱ πιστοί, ὑμνήσωμεν συμφώνως
ἡμῶν τὸν εὐεργέτην καὶ πρὸς Θεὸν μεσίτην,
θαυματουργὸν Παΐσιον.

Στίχ. **Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.**

Δεῦτε, ἑορτασταί, τιμήσωμεν ἀξίως
Παΐσιον τὸν νέον, μιμούμενοι τοὺς κόπους
αὐτοῦ καὶ τὴν ταπείνωσιν.

**Δόξα. Ἦχος β΄.**

Δεῦτε ἀνυμνήσωμεν, λαοί,
τὸν ἐν ἐσχάτοις χρόνοις Ἀθωνίτην ἀσκητήν,
τὸν στοργικὸν πατέρα καὶ πρακτικὸν διδάσκαλον,
τὸν μέγαν ἐν τῇ πράξει καὶ μείζονα ἐν θεωρίᾳ,
τὸν ὅσιον Παΐσιον·
οὗτος τῷ πυρὶ τῆς ἀγάπης ὡς λαμπὰς ἀναλωθείς,

νῦν παρίσταται τῇ ὑπερφώτῳ Τριάδι
ὑπὲρ ἡμῶν πρεσβεύων,
ὅπως λάβωμεν φῶς θεϊκῆς ἐπιγνώσεως.

**Καὶ νῦν. Θεοτοκίον.**

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι·
Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Ἀπολυτίκιον.**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Τῆς ἐνθέου ἀγάπης τὸ πῦρ δεξάμενος,
ὑπερβαλλούσῃ ἀσκήσει ἐδόθης ὅλος Θεῷ
καὶ παράκλησις πολλῶν ἀνθρώπων γέγονας,
λόγοις θείοις νουθετῶν, προσευχαῖς θαυματουργῶν,
Παΐσιε θεοφόρε· καὶ νῦν πρεσβεύεις ἀπαύστως
ὑπὲρ παντὸς τοῦ κόσμου, Ὅσιε.

**Θεοτοκίον. Ἦχος ὁ αὐτός.**

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος·
χαῖρε, τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ·
χαῖρε, ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε·
ἡ τεκοῦσα ἐν σαρκὶ τὸν ποιητήν σου καὶ Θεόν,
πρεσβεύουσα μὴ ἐλλείπῃς
ὑπὲρ τῶν ἀνυμνούντων
καὶ προσκυνούντων τὸν Τόκον σου.

**Ἀπόλυσις.**

# ἘΝ ΤΩ͂Ι ΜΕΓΆΛΩι ἙΣΠΕΡΙΝΩ͂ι

Μετὰ τὸν Προοιμιακὸν στιχολογοῦμεν τὸ **Μακάριος ἀνήρ.** Εἰς δὲ τὸ **Κύριε ἐκέκραξα** ἱστῶμεν Στίχους ϛ´, καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια.

Ἦχος α´. **Ὢ τοῦ παραδόξου θαύματος.**

Σήμερον φαιδρὰ πανήγυρις
τῇ σεπτῇ σου μνήμῃ, ὅσιε Παΐσιε,
καὶ χαίρει Καππαδοκία ἡ γεννήσασα
Πατέρων τῶν παλαιῶν
σὲ μιμητὴν θαυμαστὸν καὶ ἐφάμιλλον·
τὸ Ὄρος Ἄθω σκιρτᾷ
τῇ ἰσαγγέλῳ ζωῇ σου θαμβούμενον·
καὶ ἡ οἰκουμένη πᾶσα
ἱκετεύει κράζουσα·
Εὐσυμπάθητε Πάτερ,
ταῖς εὐχαῖς σου πάντας στήριξον.

Ὢ τοῦ παραδόξου θαύματος!
πῶς ἐν σώματι ὤν, ἤκουσας, μακάριε,
Ἀγγέλων δοξολογούντων τὸν Θεὸν ἡμῶν;

αἱ χεῖρές σου πῶς τροφὴν
ὡς δῶρον τῆς Θεοτόκου ἐδέξαντο;
ἀλλὰ καὶ πῶς εὐλαβῶς
τῇ Πανευφήμῳ ὡμίλησας Μάρτυρι;
πλέον ὅμως τούτων πάντων
πῶς τὸν ὅλων Κύριον
ὑπερλάμποντα κάλλει
ἐθεάσω, θεοδόξαστε;

Τίς οὐκ ἐθαμβήθη, Ὅσιε,
καθορῶν σε ὅλον αἴγλῃ θείᾳ λάμποντα
τὴν ἔνδον σου μαρτυρούσῃ καθαρότητα;
καὶ τίς ὄντως τὴν καλὴν
οὐκ ἠλλοιώθη ἀλλοίωσιν βλέπων σε;
εὐθὺς γὰρ τὸ ἱλαρὸν
καὶ φωτοβόλον σου βλέμμα ἐδείκνυε
θησαυρὸν ἐνθέου πόθου,
βάθος ταπεινώσεως,
εὐλαβείας τὸν πλοῦτον
καὶ ἀγάπης σου τὸ πέλαγος.

**Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.**

Τὸ θερμὸν τῆς ἀγάπης σου
ἐξεχέετο, Ὅσιε,
ἐκ τῆς σῆς καρδίας εἰς κτίσιν ἅπασαν·
ὅθεν πατέρα οἱ ἄνθρωποι

σὲ εὕρισκον εὔσπλαγχνον, στοργικὸν καὶ συμπαθῆ,
τὰ δὲ ζῷα ἀφόβως σοι, Πάτερ, ἤγγιζον,
ὥς ποτε τῷ Ἀδὰμ ἐν Παραδείσῳ,
ἐντολὴν πρὶν παραβῆναι
τοῦ Πλάστου πάσης τῆς κτίσεως.

Ψαλμικῶς εἰς τὰ πέρατα
ὁ σὸς φθόγγος διέδραμεν,
καὶ ἡ διδαχή σου, σοφὲ Παΐσιε,
οἷάπερ σάλπιγξ γλυκύλαλος
τὴν γῆν περιήχησεν, ἐκδιδάσκουσα σαφῶς
ὅτι τρίβος σωτήριος ἡμῖν γίνεται
ἡ τελεία πρὸς Κύριον ἀγάπη,
τὸ ζητεῖν τὸ τοῦ ἑτέρου
καὶ ἡ ὑψοῦσα ταπείνωσις.

Ἰατρεῖον ὁ τάφος σου
καὶ θερμὸν καταφύγιον
τοῖς πιστῶς προσπίπτουσι καὶ κραυγάζουσιν·
Εὔσπλαγχνε πάτερ Παΐσιε,
ὡς πάλαι ἐνίσχυσας καὶ διέσωσας πολλούς,
οὕτω νῦν ἡμᾶς στήριξον, παραμύθησον,
δίδου ῥῶσιν ψυχῶν τε καὶ σωμάτων
καὶ πρὸς ἔργα μετανοίας
ἡμῶν τὸν ζῆλον διέγειρον.

**Δόξα. Ἦχος πλ. α΄.**

Ἀνέτειλε σήμερον ἡμῖν φωταυγὴς ἑορτή,
τὰς καρδίας ἡμῶν φαιδρύνουσα
καὶ τὸν νοῦν πρὸς οὐρανὸν ἀναβιβάζουσα·
ἄνθρωπος γὰρ οὐράνιος καὶ ἐπίγειος ἄγγελος
ἑορτάζεται, ὁ θεόφρων Παΐσιος.
Οὗτος διάγων ἐπὶ γῆς, ὡς ἐν οὐρανῷ ἐπολιτεύετο,
οὐδόλως περὶ τῶν γηΐνων μεριμνῶν
ἀλλὰ τοῦ Κυρίου ἀεὶ κατατρυφῶν
καὶ τῷ φωτὶ Αὐτοῦ περιπατῶν·
διὰ νηστείας καθαρᾶς ἄρτον Ἀγγέλων ἐδέξατο,
διὰ προσευχῆς ἀδιαλείπτου τὴν καρδίαν οὐρανὸν ἐποίησεν·
ἀναβάσεις δὲ θείας ἀναβὰς ὁ μακάριος,
σὺν τοῖς Ἀγγέλοις ἀνέμελπε τὴν ἱερὰν δοξολογίαν.
Ἅπαντες οὖν πανευλαβῶς βοήσωμεν αὐτῷ·
Ἰσάγγελε Παΐσιε, ποίησον ἡμᾶς μετόχους
τῆς ἀλήκτου λαμπρότητος
ταῖς πρὸς Κύριον πρεσβείαις σου.

**Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.**

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ
τῆς ἀπειρογάμου Νύμφης εἰκὼν διεγράφη ποτέ·
ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος,
ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος·
τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ,
νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος·
ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραὴλ
ἔμεινεν ἄβατος· ἡ ἄμεμπτος

μετὰ τὴν κύησιν τοῦ Ἐμμανουὴλ ἔμεινεν ἄφθορος· Ὁ ὢν καὶ προὼν καὶ φανεὶς ὡς ἄνθρωπος Θεός, ἐλέησον ἡμᾶς.

**Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.** (Κεφ. 3, 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν· καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
(Κεφ. 5, 15-23 & 6, 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο

λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

(Κεφ. 4, 7-15)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ

γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Εἰς τὴν Λιτήν, Ἰδιόμελα.
### Ἦχος α΄.

Ὦ πάντων τῶν ἀσκητῶν ὁμόσκηνε,
ὦ πάντων τῶν Ἁγίων συμμέτοχε,
πατὴρ ἡμῶν Παΐσιε·
σὺ καὶ προφήτου εἶχες ὀφθαλμόν,
ὅτι τὰ μέλλοντα ὡς παρόντα ἑώρας·
σὺ καὶ ἀποστόλου ἔργον ἐτέλεσας,
ὅτι διάγων ἐν τῷ Ἄθῳ
τῶν ἀνθρώπων τὰ πλήθη ὡς μαγνήτης προσείλκυες
εἰς μετάνοιαν ὁδηγῶν καὶ σωτηρίαν·
ἀλλὰ καὶ μάρτυρά σε ἔδειξεν ἡ βιοτή σου,
ὅτι γενναίῳ φρονήματι
κόπους μακροὺς ἀσκήσεως καὶ πόνους ἀσθενείας
ἀγαλλόμενος διὰ Χριστὸν ὑπέμεινας·
Ὃν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Ἦχος β΄.

Τῆς πανευφήμου Εὐφημίας τὴν μνήμην ἑορτάσας,
πρὸς οὐρανίους ἀνέπτης μονάς, ὅσιε πάτερ Παΐσιε·
ἔνθα σε ὑπεδέξαντο ἡ πανένδοξος Μάρτυς,
ἣν πάλαι ὑπεδέξω ἐν τῇ πτωχῇ σου Καλύβῃ,
καὶ ὁ ὅσιος Ἀρσένιος, οὗ τὸν βίον τὸν ἔνθεον
ἀπὸ παιδὸς ἐμιμήθης καὶ τοῖς πᾶσιν ἐφανέρωσας.
Ἀλλὰ καὶ νῦν, τριὰς Ἁγίων σεπτή,
Ἀρσένιε θεοφόρε, Παΐσιε θεόφρον καὶ ἀθληφόρε Εὐφημία,
τὰς δεήσεις ἡμῶν ὁμοῦ προσάγετε τῇ Παναγίᾳ Τριάδι,
αἰτούμενοι ἡμῖν ἱλασμὸν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος.

### Ἦχος γ΄.

Μακάριος εἶ, θεοφόρε Παΐσιε,
ὅτι τὸν ὡραῖον κάλλει κατιδεῖν ἠξιώθης,
Χριστὸν τὸν Θεόν,
ὅλον φῶς, ὅλον γλυκασμόν, ὅλον ὡραιότητα ἄφραστον.
Ὅθεν ἐξεστηκὼς ἐβόας λέγων·
Πῶς τὴν λαμπράν σου ὄψιν, Φιλάνθρωπε,
ἄνθρωποι ἐμπτῦσαι ἐτόλμησαν;
πῶς δὲ ἐγὼ ὁ ἄθλιος ταύτης τῆς θέας ἠξιώθην,
δι' ἣν πάντας τοὺς ἀγῶνας τῶν ἀπ' αἰῶνος ἀσκητῶν
ἄξιον ἂν ἦν τινα ποιῆσαι;
Νῦν δέ, παμμακάριστε Ὅσιε, ἀδιαλείπτως βλέπων
τὸν Σωτῆρα Χριστὸν πρόσωπον πρὸς πρόσωπον,
δυσώπει, δεόμεθα, ἐν ἡμέρᾳ κρίσεως
ἀξιωθῆναι ἡμᾶς ἀκαταγνώστῳ συνειδότι
θεάσασθαι Αὐτοῦ τὸ πρόσωπον.

### Ἦχος δ΄.

Τίς οὐκ ἐθαύμασε, Παΐσιε ὅσιε,
τὸ διάπυρον τῆς σῆς ἀγάπης
καὶ τὴν ἰσχὺν τῆς μεσιτείας σου πρὸς Κύριον;
Ὄμματι εὐσπλάγχνῳ ἑώρας τοὺς πάσχοντας,
καὶ ἀνίατα πάθη ἐθεραπεύοντο·
ἐν τῇ θερμῇ σου ἀγκάλῃ δαιμονῶντας περιέσφιγγες,
καὶ τὰ δαιμόνια φρίττοντα ἐφυγαδεύοντο·
πυρίνῃ γλώσσῃ ἐλάλεις, καὶ αἱ καρδίαι ἠλλοιοῦντο
τῇ θείᾳ ἐνεργείᾳ τῶν λόγων σου·
καὶ νῦν ἄνωθεν ἡμᾶς προφθάνεις,
σῴζων ἐκ κινδύνων, συμφορῶν καὶ θλίψεων.
Διὸ εὐχαριστήριον αἶνον Θεῷ προσάγομεν λέγοντες·
Εὐλογητὸς ὁ Θεός, ὁ δωρησάμενος ἡμῖν
ἰατρὸν καὶ προστάτην καὶ πρέσβυν ἀκοίμητον.

### Ἦχος πλ. δ΄.

Τάδε λέγει Παΐσιος ὁ θεηγόρος,
πρὸς τὸν νόμον τοῦ Σωτῆρος Χριστοῦ
κατευθύνων ἡμᾶς·
Μακάριοί ἐστε, ἐὰν ἀγάπην καὶ ταπείνωσιν κτήσησθε,
ὅτι τοῦ Ἁγίου Πνεύματος οἰκητήριον γενήσεσθε.
Μακάριοί ἐστε, ἐὰν ἑαυτοὺς ἀρνήσησθε
καὶ τὸν πλησίον ἀναπαύσητε,
ὅτι τῆς ὄντως ἀναπαύσεως ἀπολαύσετε.
Χαίρετε καὶ ἀγαλλιᾶσθε
οἱ τὰς θλίψεις καὶ ἀδικίας εὐχαρίστως ὑπομένοντες,

ὅτι μιμηταὶ γεγόνατε Χριστοῦ,
τοῦ ἑκουσίως ὑπὲρ ἡμῶν παθόντος.
Οὕτω πολιτευόμενοι,
γεύσεσθε ἐπὶ τῆς γῆς οὐρανίου εὐφροσύνης
καὶ ἐν οὐρανῷ τῆς αἰωνίου χαρᾶς ἀξιωθήσεσθε.

**Δόξα. Ἦχος πλ. β΄.**

Δεῦτε, ἅπαντες πιστοί, εὐφρανθῶμεν ἐνθέως
ἐν τῇ πανσέπτῳ μνήμῃ τοῦ θεοφόρου Παϊσίου
καὶ πνευματικῶς ἑορτάζοντες αὐτῷ βοήσωμεν·
Χαίροις, ὁ ἀσιγήτως τὸν Θεὸν δοξολογήσας
θείῳ ἔρωτι τρωθείς·
Χαίροις, ὁ δαπανήσας σεαυτὸν ὑπὲρ τοῦ πλησίον
τῇ φλογὶ τῆς ἀγάπης πυρποληθείς·
Χαίροις, ὁ πάντας παραμυθήσας
πείθων καταφρονεῖν τῶν ματαίων
καὶ τῆς ψυχῆς τὸ ὄμμα ἔχειν
πρὸς πατρίδα τὴν οὐράνιον,
ἔνθα ἡ ὄντως χαρὰ καὶ παραμυθία·
Χαίροις, ὁ τὴν οἰκουμένην στηρίζων
ταῖς θείαις διδαχαῖς
καὶ ταῖς πρεσβείαις σου πρὸς Κύριον·
Αὐτὸν μὴ παύσῃ ἱκετεύων, δεόμεθα,
ὅσιε Παΐσιε, οἰκουμένης φωστὴρ φαεινότατε,
δωρηθῆναι εἰρήνην τῷ κόσμῳ
καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.**

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ
ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς·
σὲ ἱκετεύομεν, πρέσβευε, Δέσποινα,
μετὰ τοῦ Ὁσίου καὶ πάντων τῶν Ἁγίων,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α´. Χαίροις ἀσκητικῶν.**

Χαίροις, Καππαδοκίας βλαστός,
Κονίτσης ἄνθος καὶ τοῦ Ἄθω ἀγλάϊσμα,
Ἑλλάδος τὸ θεῖον κλέος καὶ οἰκουμένης φωστήρ,
Ἐκκλησίας φάρος τηλαυγέστατος,
πιστῶν χειραγώγησις πρὸς φιλότιμον ἄσκησιν,
κινδυνευόντων ἀπροσδόκητος λύτρωσις,
μοναζόντων δὲ ἀσφαλὴς καθοδήγησις·
Πάτερ πανολβιώτατε, Παΐσιε ὅσιε,
νῦν τὸν σὸν τάφον κυκλοῦντες, πανευλαβῶς τὴν ἐτήσιον
τελοῦμέν σου μνήμην
καὶ γεραίρομεν τοὺς ἄθλους τῆς πολιτείας σου.

Στίχ. **Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.**

Ἔρωτι θεϊκῷ πτερωθείς,
τὴν ἀκροτάτην ἡσυχίαν ἐπόθησας
καὶ ταύτην ἀκαταπαύστως, ὡς μανικὸς ἐραστής,
ἀνεζήτεις, Ἅγιε, ἕως ἔφθασας
εἰς τόπον πανέρημον, ἔνθα πάθη ἐνέκρωσας
καὶ τῶν δαιμόνων τὰς ἐνέδρας διέλυσας

δι᾽ ἀσκήσεως καὶ πολλῆς ταπεινώσεως·
ὅθεν Θεῷ ἑνούμενος, Θεοῦ ὤφθης ὄργανον,
ὅσιε Πάτερ, ὑπείκων Αὐτοῦ τῷ θείῳ θελήματι
καὶ καύσει καρδίας
ὡς θυσία προσηνέχθης τῷ κόσμῳ ἅπαντι.

Στίχ. **Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.**

Χαίροις, ὁ καθαρᾷ προσευχῇ
πρὸς θεωρίαν ὑψωθείς, Πάτερ ὅσιε·
θεάμων γὰρ ἀθεάτων ἐγένου ὑπερφυῶς
καὶ τῶν ἀποῤῥήτων γνῶσιν ἔσχηκας·
Θεοῦ τὰ μυστήρια ἐμυήθης, μακάριε,
μετὰ Ἁγίων συνωμίλησας, Ἅγιε,
ὕμνων ἤκουσας τῶν Ἀγγέλων, ἰσάγγελε·
ξένης τροφῆς μετέλαβες, τὴν πάναγνον Δέσποιναν,
ὡς καθαρὸς ὑπεδέξω, τοῦ δὲ Κυρίου τὸ πρόσωπον
κατεῖδες, θεόπτα,
Ὃν δυσώπει ἡμῖν δοῦναι τὸ μέγα ἔλεος.

**Δόξα. Ἦχος πλ. δ΄.**

Παρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου,
φησὶν ὁ Προφήτης·
ὁ γὰρ Θεὸς ἡμῶν παρακλήσεως Θεὸς ὑπάρχει.
Ὅθεν τῷ Θεῷ ὁμοιωθείς, θεοφόρε Παΐσιε,
πηγὴ ἀναδέδειξαι παραμυθίας·
ψυχὰς πεινώσας ἄρτῳ τῶν λόγων σου ἐξέθρεψας,
διψῶντας τῷ καύσωνι τῶν θλίψεων
ὕδωρ ἀναπαύσεως ἐπότισας,

γυμνοὺς ἀρετῶν τῇ στολῇ ἐνέδυσας
τῆς ἐναρέτου πολιτείας,
ξένοις πατήρ, ἀδελφὸς καὶ μήτηρ γέγονας,
νοσοῦντας δι᾽ ἐντεύξεως ἐθεράπευσας,
ἔτι δὲ καὶ νεκροὺς κατακρίτους
ἐπεσκέψω, ὅσιε Πάτερ,
ἀναψυχὴν αὐτοῖς ταῖς εὐχαῖς σου χαρισάμενος.
Καὶ νῦν, κληρονόμος γενόμενος τῆς Χριστοῦ βασιλείας,
οὐ παύῃ εὐεργετῶν καὶ ἰώμενος τὰ πάθη
τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.**

Ἀνύμφευτε Παρθένε,
ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί,
Μήτηρ Θεοῦ τοῦ Ὑψίστου,
σῶν ἱκετῶν παρακλήσεις δέχου, Πανάμωμε,
ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων·
νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη,
δυσώπει σωθῆναι πάντας ἡμᾶς.

**Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Τῆς ἐνθέου ἀγάπης τὸ πῦρ δεξάμενος,
ὑπερβαλλούσῃ ἀσκήσει ἐδόθης ὅλος Θεῷ
καὶ παράκλησις πολλῶν ἀνθρώπων γέγονας,
λόγοις θείοις νουθετῶν, προσευχαῖς θαυματουργῶν,
Παΐσιε θεοφόρε· καὶ νῦν πρεσβεύεις ἀπαύστως
ὑπὲρ παντὸς τοῦ κόσμου, Ὅσιε.

**Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.**

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος·
χαῖρε, τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ·
χαῖρε, ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε·
ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητήν σου καὶ Θεόν,
πρεσβεύουσα μὴ ἐλλείπῃς
ὑπὲρ τῶν ἀνυμνούντων
καὶ προσκυνούντων τὸν Τόκον σου.

**Ἀπόλυσις.**

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.**
**Ἦχος α΄. Τὸν τάφον σου, Σωτήρ.**

Ζωὴν ἀγγελικήν, ὡς οἱ πάλαι Πατέρες,
ἐν Ἄθῳ καὶ Σινᾶ καὶ Στομίῳ διῆλθες,
Παΐσιε ὅσιε, καὶ τοὺς πάντας προέτρεψας
ἔργοις λόγοις τε καταφρονεῖν τῶν ματαίων,
μόνης δὲ ψυχῆς ἐπιμελεῖσθαι ἀπαύστως·
ὑπάρχει γὰρ ἀθάνατος.

**Δόξα.**

Τὴν θείαν σου λαμπρῶς ἑορτάζοντες μνήμην,
κυκλοῦμεν εὐλαβῶς τὸν σὸν πάνσεπτον τάφον,
πατὴρ ἡμῶν Παΐσιε, εὐγνωμόνως συμπλέκοντες
ἄνθη εὔοσμα τῶν ἱερῶν ἐγκωμίων·
ταῦτα πρόσδεξαι καὶ τὰς ἡμῶν ἱκεσίας
Θεῷ διαβίβασον.

**Καὶ νῦν. Θεοτοκίον.**

Μαρία, καθαρὸν ὁ Δεσπότης δοχεῖον
εὑρών σε ἐπὶ γῆς, οὐρανῶν Πλατυτέραν

ἀνέδειξέ σε, Πάναγνε, ἐν γαστρί σου σαρκούμενος·
ὅθεν πλάτυνον ἡμῶν τὸ στόμα καὶ πλῆσον
σῆς αἰνέσεως, ὅπως τὰ σὰ μεγαλεῖα
δοξάζωμεν, Δέσποινα.

**Μετὰ τὴν β´ Στιχολογίαν, Κάθισμα.**
**Ἦχος δ´. Κατεπλάγη Ἰωσήφ.**

Ἀδιάλειπτος εὐχή, φύσεως βία διαρκής,
ὑπομονὴ ἐν πειρασμοῖς, εὐχαριστία ἐν παντὶ
ἡ βιοτή σου ὑπῆρξε, θεόφρον Πάτερ·
ἔσχες γὰρ ὡς πῦρ ἐν τῇ καρδίᾳ σου
φιλοτιμίαν θαυμαστὴν ἐκπηγάζουσαν
ἐκ τῆς ἀμέτρου εὐγνώμονος ἀγάπης
πρὸς τὸν Δεσπότην καὶ Κύριον,
δι᾽ Ὃν καὶ θνήσκειν σφοδρῶς ἐπόθεις
καθ᾽ ἑκάστην ἡμέραν.

**Δόξα.**

Συμπαθέστατος πατήρ, σύμβουλος ὄντως ἀπλανής,
πλανωμένων παιδευτὴς καὶ τῶν πλανώντων ἐλεγκτὴς
γέγονας, Πάτερ, παρέχων ἑνὶ ἑκάστῳ
ἴαμα ψυχῆς τὸ προσφορώτερον,
μετρῶν ἐν τῷ ζυγῷ τῆς διακρίσεως·
ἐκ τῆς θεοσυνέτου σου καρδίας
ὁμοῦ γὰρ ἔβλυζον, Ἅγιε,
ἡ στοργική σου φιλαδελφία
καὶ ἡ φιλεύσπλαγχνος παιδαγωγία.

**Καὶ νῦν. Θεοτοκίον.**

Μεγαλεῖα ἀληθῶς ὁ πάντων Πλάστης καὶ Θεὸς
σοὶ ἐποίησεν, Ἁγνή, διὸ ἱκέτευε Αὐτὸν
τοῦ μεγαλῦναι τὸ ἔλεος ἐπὶ πάντας,
ὅπως ἐν χαρᾷ ἀπαύστως ψάλλωμεν·
Ἄξιόν ἐστι μακαρίζειν σε,
τὴν Χερουβεὶμ καὶ Σεραφεὶμ ὑπερτέραν,
ὡς Μητέρα ὑπάρχουσαν
τοῦ ἐν ὑψίστοις Θεοῦ καὶ Κτίστου
καὶ Σωτῆρος τοῦ κόσμου.

**Μετὰ τὸν Πολυέλεον, Κάθισμα.**
**Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Τὸ πῦρ τοῦ ζήλου σου καὶ τοὺς ἀγῶνάς σου
τίς οἶδεν, Ὅσιε; ἢ τῆς ἀγάπης σου
τοὺς ἀειρρύτους ποταμοὺς τίς δύναται ἐκμετρῆσαι;
καθ᾽ ἡμέραν ἔθνῃσκες, ῥῶσιν δίδων τοῖς κάμνουσιν·
εἰ δὲ καὶ ἠδύνασο, τὴν καρδίαν σου ἔδωκας ἄν,
μιμούμενος Χριστοῦ τὴν εὐσπλαγχνίαν,
τοῦ ὑπὲρ πάντων κενωθέντος.

**Δόξα.**

Θείαν ἀνάβασιν διατιθέμενος,
ἀπὸ τῆς πράξεως, Ὅσιε, ἔφθασας
εἰς καθαρότητα ψυχῆς καὶ δύναμιν θεωρίας·
ὅθεν ἡμῖν ἔδωκας ἀρετῆς, Πάτερ, κλίμακα,
ὡς βαθμίδας ἔχουσαν τοὺς θεοσόφους λόγους σου,

δι' ὧν ἀπὸ βυθοῦ ἐμπαθείας
εἰς ὕψος ἀπαθείας ἀνερχόμεθα.

**Καὶ νῦν. Θεοτοκίον.**

Τί σε καλέσωμεν, Μῆτερ Ἀνύμφευτε;
Ἀγγέλων Δέσποιναν, κόσμου μεσίτριαν,
θείων χαρίτων θησαυρόν, ἀλάβαστρον θείου μύρου,
βάτον ἀκατάφλεκτον, στάμνον μάννα βαστάζουσαν,
κλίμακα μετάγουσαν ἀπὸ γῆς πρὸς οὐράνια,
καὶ σκέπην οὐρανῶν πλατυτέραν,
σκέπουσαν ἡμᾶς καὶ διασῴζουσαν.

**Οἱ Ἀναβαθμοί, τὸ α´ Ἀντίφωνον τοῦ δ´ Ἤχου.**
**Προκείμενον, Ἦχος δ´.**

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

**Πᾶσα πνοή.**

**Εὐαγγέλιον, ζήτει τοῦ Ἁγίου Σάββα, τῇ Ε´ Δεκεμβρίου.**

**Ὁ Ν´ Ψαλμός.**

**Δόξα. Ἦχος β´.**

Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν.**

Ταῖς τῆς Θεοτόκου πρεσβείαις...

**Στίχ.** Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

**Καὶ τὸ Ἰδιόμελον. Ἦχος πλ. β΄.**

Δεῦτε, πιστοί, τῆς Παϊσίου τραπέζης
ἐνθέως μετάσχωμεν·
ἰδοὺ γὰρ ὁ πατὴρ ἡμῶν Παΐσιος ὁ νέος,
τοῦ παλαιοῦ ὁμότροπος φανείς,
συγκαλεῖται ἡμᾶς πρὸς ἑστίασιν πνευματικήν·
δεῦτε, ἅπαντες, εὐφρανθῶμεν
τοῖς καρποῖς τῶν καμάτων, τοῖς μελιῤῥύτοις λόγοις
καὶ τοῖς νάμασι τῶν θαυμάτων αὐτοῦ,
ὡς παρόντα δὲ ὁρῶντες τὸν ἡμέτερον προστάτην,
αὐτὸν ἱκετεύσωμεν·
Ὅσιε Πάτερ, πρέσβευε Χριστῷ τῷ Θεῷ
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἶτα ὁ Κανὼν τῆς Θεοτόκου εἰς ϛ΄**
**καὶ οἱ δύο Κανόνες τοῦ Ὁσίου εἰς η΄.**

**Κανὼν πρῶτος, οὗ ἡ ἀκροστιχίς·**
**«Παϊσίου ᾄσωμεν τοὺς ὑπὲρ φύσιν ἄθλους».**

**Ἦχος πλ. δ΄.**

**Ὠδὴ α΄. Ἁρματηλάτην Φαραώ.**

Πῶς ἐπαξίως ἐν ᾠδαῖς ὑμνήσωμεν, πάτερ Παΐσιε,
τὴν ἀσκητικήν σου πολιτείαν, Ὅσιε,
καὶ ποίοις λόγοις ᾄσωμεν τὴν θερμήν σου ἀγάπην
τὴν μετὰ πάντων συμπάσχουσαν
καὶ παραμυθίαν παρέχουσαν;

Ἀσκητικῶς ἀπὸ παιδὸς ἐβίωσας ἀγάπῃ θείᾳ φλεχθείς,
βίοις δὲ Ἁγίων ἐντρυφῶν ἐσπούδαζες
μιμεῖσθαι μετὰ ζέσεως τὰ μεγάλα ἐκείνων
καὶ ὑπὲρ φύσιν παλαίσματα
καὶ τὴν βιοτὴν τὴν ἰσάγγελον.

Ἰδὼν Χριστὸς πῶς ἀπιστίας κλύδωνα σοφῶς διέφυγες,
ἔτι παῖς ὑπάρχων, φιλοτίμῳ πίστει σου,
μέσῳ φωτὸς ἐφάνη σοι, ἀσφαλῶς βεβαιῶν σοι
ὅτι Αὐτὸς ἡ ἀνάστασις
καὶ ζωή ἐστι τοῖς πιστεύουσι.

**Θεοτοκίον.**

Σοὶ ἀληθῶς μετὰ Θεὸν ἀνέθηκα πᾶσαν ἐλπίδα, Ἁγνή,
καὶ σοὶ ἀνατείνων ὅλην μου τὴν ἔφεσιν,
ἀναβοῶ ἐξ ὅλης μου τῆς ψυχῆς καὶ ἰσχύος·
Πρὸς σωτηρίαν με ἴθυνον,
Μῆτερ τοῦ Θεοῦ, Παναγία μου.

**Κανὼν δεύτερος, οὗ ἡ ἀκροστιχίς·**
**«Χαίροις, πάτερ Παΐσιε, παραμυθία πάντων».**

**Ἦχος δ΄.**

**Ὠδὴ α΄. Ἀνοίξω τὸ στόμα μου.**

Χαρμόσυνα ᾄσματα ᾄδομεν σήμερον χαίροντες,
Παΐσιε ὅσιε, τῇ θείᾳ μνήμῃ σου,
ὡς ἐλάμπρυνας Χριστοῦ τὴν Ἐκκλησίαν
τῷ φέγγει τῶν ἄθλων σου καὶ τῶν θαυμάτων σου.

Ἀγάλλου καὶ χόρευε, Καππαδοκία, θαυμάζουσα
Θεὸς πῶς ἐδόξασε τῇ καθ᾽ ἡμᾶς γενεᾷ
ὃν ἐγέννησας, Παΐσιον τὸν νέον,
ἐν Ἄθῳ ἀσκήσαντα ζέοντι πνεύματι.

Ἰθύνθης στεῤῥότατα πρὸς ἀρετῶν τελειότητα
ἐκ πρώτων βημάτων σου, πάτερ Παΐσιε,
καὶ ἠγώνισαι ἐν πᾶσι φιλοτίμως,
διὸ καὶ ἀπείληφας στέφανον ἄφθαρτον.

**Θεοτοκίον.**

Ῥητόρων οὐδέποτε γλῶσσαι σοφαὶ ἐξισχύσουσι
τὸ μέγα μυστήριον ἐξερευνῆσαι, Ἁγνή,
πῶς διέμεινας Παρθένος μετὰ τόκον,
πῶς Μήτηρ τοῦ Κτίστου σου ἡ δούλη γέγονας.

**Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.**

Ἰδοὺ πεπλήρωται σαφῶς ἡ περὶ σοῦ προφητεία
τοῦ ἁγίου Ἀρσενίου εἰπόντος
ὡς ὁμότροπος αὐτοῦ ὀφθήσῃ, ὢ Παΐσιε·
καὶ νῦν ὡς δύο ἄστρα τὴν Ἐκκλησίαν φαιδρύνετε.

Ὅλος πυρίπνους εἰσελθὼν εἰς κοινοβίου παλαίστραν,
πῦρ ἐτίθεις τῷ πυρὶ καθ᾽ ἡμέραν,
ἐν ἱδρῶσι κοπιῶν καὶ δάκρυσιν εὐχόμενος·
ὅθεν ἡ θεία Χάρις σὲ περιέλουσεν ἄνωθεν.

Ὑπερβαλλόντως ὁ σφοδρὸς τῆς ἡσυχίας ὁ πόθος
σὲ διήγειρε δραμεῖν πρὸς ἐρήμους·

ἔνθα πίνων διαυγῆ τῆς ἀπαθείας νάματα,
πηγὴ ἐγένου, Πάτερ, ὕδωρ τὸ ζῶν ἀναβλύζουσα.

**Θεοτοκίον.**

Ἄχραντε Μῆτερ τοῦ Θεοῦ, τῇ σῇ ἀγάπῃ ἐθέλχθη
ἡ καρδία τοῦ σεπτοῦ Παϊσίου,
ὃς προσπίπτων σοι θερμῶς μετ᾽ εὐλαβείας ἔκραζεν·
Ἡδύτερον οὐκ ἔστι σοῦ τῆς Μητρὸς τοῦ Κυρίου μου.

**Ἕτερος. Τοὺς σοὺς ὑμνολόγους.**

Ὁ ἄσβεστος ζῆλός σου, θεόφρον,
ὁ μέγας σου ἔρως πρὸς Χριστὸν
ἀπαύστως σε προέτρεπεν ἀναβοᾶν τρανότατα·
Ἐμοὶ τὸ ζῆν Χριστός ἐστι καὶ μέγα κέρδος ὁ θάνατος.

Ἰσχύϊ Θεοῦ καθωπλισμένος,
ἐπ᾽ ὤμων σου ἦρας τὸν σταυρὸν
καὶ ἐσταυρώθης, Ὅσιε, τῷ κόσμῳ καὶ τοῖς πάθεσι·
διὸ ὁ ἅπας βίος σου Πάσχα Κυρίου ἐγένετο.

Σοφίαν τοῦ κόσμου οὐκ ἐκτήσω,
σοφίαν δὲ ὄντως τοῦ Θεοῦ
ἐδέξω, θεοδίδακτε, τῇ καθαρᾷ καρδίᾳ σου
καὶ ἔγνως τὰ ἀνέκφραστα καὶ ὑπὲρ φύσιν μυστήρια.

**Θεοτοκίον.**

Παρθένε πανύμνητε Μαρία,
ἡ θεία εἰκών σου θαυμαστῶς
εὐφραίνει χείλη, ὄμματα, καρδίαν καὶ διάνοιαν·
ἣν πίστει ἀσπαζόμενοι, ἰσχὺν μεγίστην λαμβάνομεν.

### Κάθισμα. Ἦχος πλ. δ΄.
**Τὴν Σοφίαν καὶ Λόγον.**

Γλυκυτάτῳ τῷ βέλει τῆς θεϊκῆς
ἀγαπήσεως, Πάτερ, ἐκκεντηθείς,
τὸν κόσμον κατέλιπες καὶ μητρὸς σχέσιν ἔῤῥιψας
καὶ ἐν ἐρήμῳ ἐκτήσω τὴν θείαν πρὸς ἅπαντας
γενικὴν ἀγάπην, ἧς βέλος σε ἔνυττεν,
Ὅσιε, ἀπαύστως πρὸς ἀνάπαυσιν πάντων·
διὸ ἐκ τοῦ αἵματος σῆς καρδίας ἠλέησας
ἀσθενεῖς, κινδυνεύοντας,
πενθοῦντας, πλανωμένους, πτωχούς,
ἔτι δὲ τεθνεῶσιν ἔδωκας
ἀναψυχὴν ταῖς εὐχαῖς σου πρὸς Κύριον.

**Δόξα.**

Ὑποκύπτων τῷ βάρει τῶν πειρασμῶν
καὶ κεντούμενος βέλει τῶν λυπηρῶν,
ἐξαίφνης σε εὕρηκα ὀξυτάτην ἀντίληψιν,
ὅτι πρὶν εἴπω· Ἅγιε Παΐσιε, πρόφθασον,
ἐνώπιόν μου ἔστης, ὢ θαῦμα ἐξαίσιον!
τὸν γὰρ στεναγμόν μου τὸν κρυπτὸν οὐ παρεῖδες,
οὐδὲ τῆς καρδίας μου τὴν πικρὰν θλῖψιν, Ὅσιε,
ἀλλ' ὡς δοῦλος φιλότιμος
τοῦ μόνου φιλανθρώπου Θεοῦ
ἐπεσκέψω τὴν ἐμὴν ἀσθένειαν,
ἰατρείαν παρέχων ἀνέλπιστον.

**Καὶ νῦν. Θεοτοκίον.**

Ὁρατῶς τῇ εἰκόνι σου παρεστώς,
ὥσπερ ζώσῃ παρίσταμαι νοερῶς
καὶ πόθῳ προσπίπτων σοι, εὐλαβείᾳ ἀσπάζομαι
τοὺς σοὺς ἀχράντους πόδας, Παντάνασσα Δέσποινα,
εὐχαριστίας προσφέρων, ἀνθ᾽ ὧνπερ ἀπήλαυσα,
καὶ ἀναβοῶν σοι ἐν καρδίᾳ σκιρτώσῃ·
Μαρία, τὸ πάμφωτον τοῦ Δεσπότου παλάτιον
σὺ ὑπάρχεις, Πανάχραντε·
ὅλος γὰρ κατῴκησεν ἐν σοὶ
Θεὸς Λόγος, ἵνα με τὸν ἄνθρωπον
κατὰ χάριν θεὸν ἀπεργάσηται.

**Ὠδὴ δ΄. Σύ μου ἰσχύς, Κύριε.**

Cὺ ὡς τρυφὴν πᾶσαν οἰόμενος στέρησιν,
τὴν νηστείαν ὡς τερπνὴν ἀπόλαυσιν
καὶ πᾶσαν ἄσκησιν ὡς χαράν,
ἐπενόεις ἄθλους παντοειδεῖς, Πάτερ ὅσιε·
ἐνίκα γὰρ τοὺς κόπους ὁ πόθος τοῦ Δεσπότου,
Ὃν ἐζήτεις ὡς μόνον παμπόθητον.

Ὢ πῶς ἐν γῇ ἔζης, Παμμάκαρ, ὡς ἄγγελος
καὶ Ἀγγέλους εἶχες βοηθοῦντάς σοι
καὶ τοὺς Ἁγίους συγκοινωνούς!
μεθ᾽ ὧν νῦν χορεύων ἐν οὐρανίοις σκηνώμασι,
μὴ παύσῃ, δυσωποῦμεν, πρεσβεύων ὑπὲρ πάντων
τῶν τιμώντων σε, πάτερ Παΐσιε.

Μέσῳ φωτὸς πλήρης γλυκύτητος ὤφθη σοι
ὁ Δεσπότης, ὢ μεγίστης χάριτος!
ὅθεν ἐβόας ἐξεστηκώς·
Πῶς ἐνέπτυσάν Σε, τοιούτῳ κάλλει κοσμούμενον;
Χιλίους ἔτι χρόνους εἰ ἔζων ἐν ἀσκήσει,
οὐκ ἂν ἤρκουν μοι, Σῶτερ, εὐχαριστῆσαί Σοι.

**Θεοτοκίον.**

Ἐν τῷ Σινᾶ ὤφθης ὡς Μήτηρ φιλόστοργος
Παϊσίῳ τῷ θερμῷ ἱκέτῃ σου,
ὃς καὶ θαυμάζων τὴν σὴν στοργὴν
καὶ τὴν γλυκυτάτην παραμυθίαν σου, ἔλεγε·
Σὺ Μήτηρ μου ὑπάρχεις, Θεομῆτορ Παρθένε,
καὶ εἰς σὲ ἐμαυτὸν ἀνατέθηκα.

**Ἕτερος. Τὴν ἀνεξιχνίαστον.**

Ἄρρητον, ὑπέρλαμπρον, ἄπλετον φῶς
ἔλαμψέ ποτε τῇ Καλύβῃ σου Χάριτος θείας·
ὅθεν θείῳ φωτισμῷ καταυγασθείς, μακάριε,
ἔνθεα νοήματα ἔβλυσας.

Τέκνον ὥσπερ τρέφει πατὴρ στοργικός,
οὕτω σε ἐφρόντιζε Κύριος ἐν τῇ ἐρήμῳ·
ἐπιῤῥίψας γὰρ Αὐτῷ ἐλπίδα πᾶσαν, Ὅσιε,
ὅλως ἀμερίμνως ἐβίωσας.

Εὔχαριν, γλυκύτατον καὶ προσηνῆ,
Χριστοῦ εὐωδίαν ἐκχέοντα, Πάτερ, σὲ ἔγνω

πᾶς ἐρχόμενος πρὸς σέ· καὶ θλίψεις ἀποθέμενος
ὡς ὑπόπτερος ἀπήρχετο.

### Θεοτοκίον.

Ῥήμασιν οὐκ ἔστιν ὑμνεῖν σε, Ἁγνή·
ὅθεν τί προσάξωμεν ἄξιον σοὶ τῇ Πανσέπτῳ;
πίστιν μόνον ἀληθῆ πανευλαβῶς προσφέρομεν,
ἥνπερ μὴ παρίδῃς, δεόμεθα.

### Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Νικητὴς τῶν δαιμόνων
ὄντως κραταιότατος ἐδείχθης, Ὅσιε·
οὐ γὰρ ἐπτοήθης
τὰς ἐνέδρας αὐτῶν καὶ τὰ φόβητρα,
ὅπλον σωτηρίας τὸν τοῦ Χριστοῦ σταυρὸν κατέχων
καὶ ταπείνωσιν ἔχων ὡς θώρακα.

Τὴν πτωχεύουσαν πλούτῳ
ἀλλὰ πλουτοδότιδα, Πάτερ, Καλύβην σου
αἴγλῃ οὐρανίῳ
ἐπεσκέψατο αἴφνης ἡ ἔνδοξος
μάρτυς Εὐφημία, πληροῦσα θείας εὐφροσύνης
καὶ εἰρήνης πολλῆς τὴν καρδίαν σου.

Ὅλος πῦρ ἐγεγόνεις,
ὅτε τὰς εὐχάς σου Κυρίῳ ἀνέπεμπες
ὑπὲρ τῶν τεθνεώτων
μετὰ πόνου θερμοῦ τε καὶ πίστεως·

ὅθεν σαῖς πρεσβείαις ὁ Πολυέλεος Δεσπότης
ἐκ πυρὸς αἰωνίου ψυχὰς ἐῤῥύσατο.

**Θεοτοκίον.**

Ὑπὸ σοῦ, Θεομῆτορ,
ὁ σεπτὸς Παΐσιος τροφὴν ἐδέξατο·
Ἄγγελος γὰρ τούτῳ
κεκμηκότι τροφὴν θείαν ἔδωκε,
λέγων· Εἰς τὴν δόξαν τῆς Παναγίας Θεοτόκου.
Ὢ τῆς θείας προνοίας σου, Δέσποινα!

**Ἕτερος. Ἐξέστη τὰ σύμπαντα.**

Πυρί, Πάτερ ὅσιε, τῶν πειρασμῶν πυρούμενος,
ὥσπερ ὁ χρυσὸς ἐν τῇ καμίνῳ
ἐκαθαρίσθης, καὶ διὰ πείρας μαθὼν
ἐδίδαξας ὅτι ἐν χαρᾷ
θλίψεις οἱ βαστάζοντες σωτηρίαν εὑρίσκουσιν.

Ἀρίστην ὠνόμασας ὡς ἀσφαλῆ καὶ σύντομον
τὴν τρίβον τῆς ταπεινοφροσύνης·
καὶ γὰρ ἀσκήσει ἀναλωθεὶς ὑψηλῇ,
ἔγνως ὡς ἁπλοῖς καὶ ταπεινοῖς
ἄφθονος χαρίζεται ἡ Θεοῦ Χάρις, Ὅσιε.

Ἰώμενος, Ὅσιε, νοσήματα τοῦ σώματος,
νόσων τῆς ψυχῆς ἐπεμελήσω,
εὐστόχοις λόγοις, ὥσπερ καλὸς ἰατρός,
εἰς φιλοτιμίαν παραινῶν,
πίστιν καὶ μετάνοιαν καὶ πρὸς βίου διόρθωσιν.

**Θεοτοκίον.**

Σὺ Εὔας ἡ λύτρωσις καὶ τοῦ Ἀδὰμ ἀνάκλησις
κόσμου τε χαρὰ καὶ σωτηρία·
ἡ μὲν γὰρ Εὔα παρακοῇ πρὸς Θεὸν
ἀπέκλεισε πύλην τῆς Ἐδέμ,
σὺ δὲ ταύτην ἤνοιξας, τῷ Κυρίῳ ὑπείκουσα.

**Ὠδὴ ϛ΄. Ἱλάσθητί μοι.**

Σαφῶς τὰ πόῤῥω ὁρῶν,
ὥσπερ ἐγγύς, Πάτερ ὅσιε,
καὶ βάθη τῶν καρδιῶν καθορῶν, ἀφύπνισας
πολλοὺς καὶ ὡδήγησας εἰς θεογνωσίαν
καὶ ὁδὸν ὄντως σωτήριον.

Ὑψώθης εἰς οὐρανούς,
ὅλος μετάρσιος γέγονας,
καὶ θεωρῶν μυστικῶς τὰ θεῖα μυστήρια,
Παΐσιε ὅσιε, ἐν ὅλῃ καρδίᾳ
τὸν Θεὸν ὑπερεδόξαζες.

Προχέων ἐξ οὐρανοῦ
πλουσίαν χάριν ὁ Κύριος,
ἠξίωσέ σε ποιεῖν τεράστια θαύματα·
ἔτι γὰρ ἐφίστασο καὶ μὴ αἰτουμένοις
τὴν βοήθειάν σου, Ὅσιε.

**Θεοτοκίον.**

Ἐκ σοῦ ἐτέχθη, Ἁγνή,
ὁ τῆς χαρᾶς ἡμῶν αἴτιος,

Χριστός, ἡ πάντων χαρά, ζωὴ καὶ ἀνάστασις·
ὅθεν χαρμοσύνως σοι ἐκβοῶμεν· Χαῖρε,
ἡ παντὸς τοῦ κόσμου λύτρωσις.

**Ἕτερος. Τὴν θείαν ταύτην.**

Ἰλὺν παθῶν ἀποθέμενος,
ἐδείχθης ἀκηλίδωτον ἔσοπτρον,
καὶ φῶς δεξάμενος
τῆς τρισηλίου Θεότητος
ἀντανακλάσεις, Πάτερ, ἡμῖν ἐξήστραψας.

Ἐν σοὶ Θεὸς ἀνεπαύσατο,
ἐπεὶ ἠρνήσω πᾶσαν ἀνάπαυσιν
καὶ ἐκοπίασας,
νυχθημερὸν δαπανώμενος
τοῦ ἀναπαῦσαι, Ὅσιε, τὸν πλησίον σου.

Πολλὰ ἐποίεις θαυμάσια
εὐχαῖς σου πρὸς Χριστὸν τὸν φιλάνθρωπον,
Οὗπερ καὶ ἔκρουες
ἐν στεναγμοῖς τῆς καρδίας σου
τὴν τοῦ ἐλέους θύραν ἀόκνως, Ὅσιε.

**Θεοτοκίον.**

Ἁγνείας θεῖον κειμήλιον,
πανεύοσμον Θεοῦ οἰκητήριον,
οἶκόν με ποίησον
τῶν χαρισμάτων τοῦ Πνεύματος
ταῖς σαῖς πρεσβείαις, Κόρη ἀειμακάριστε.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Ἀγγελικῶς ἐπὶ τῆς γῆς πολιτευσάμενος
καὶ δι᾽ ἀγάπης λάμψας, ὅσιε Παΐσιε,
μοναζόντων μέγα στήριγμα ἀνεδείχθης,
τῶν πιστῶν χειραγωγὸς πρὸς βίον ἅγιον,
οἰκουμένης δὲ ἐντρύφημα γλυκύτατον·
διὸ κράζομεν· Χαίροις, Πάτερ παγκόσμιε.

**Ὁ Οἶκος.**

Ἄγγελοι διηπόρουν, πῶς ἐν σώματι ὤν, Πάτερ,
εἰς οὐρανοὺς δι᾽ ἀγάπης ἀνέβης,
κἀντεῦθεν θείας ἀγάπης πλησθείς,
τὴν γῆν τῷ φωτὶ τῆς ἀγάπης οὐράνωσας!
Ἡμεῖς δέ, σὲ θαυμάζοντες, πανευλαβῶς βοῶμέν σοι τοιαῦτα·
Χαῖρε, ὁ μύστης τῆς ἡσυχίας·
χαῖρε, δοχεῖον ἀγάπης θείας.
Χαῖρε, ὁ Ἀγγέλων ἄρτον δεξάμενος·
χαῖρε, ὁ Ἁγίους ὑποδεξάμενος.
Χαῖρε, ὅτι τὸν Θεάνθρωπον ἠξιώθης κατιδεῖν·
χαῖρε, ὅτι τῆς Θεόπαιδος ἐθεάσω τὴν μορφήν.
Χαῖρε, ὁ εὐσυμπάθητος ὑπὲρ πάντων εὐχέτης·
χαῖρε, ὁ παντὸς τοῦ κόσμου ἀφανὴς εὐεργέτης.
Χαῖρε, Ὀρθοδοξίας ὑπέρμαχος ἄριστος·
χαῖρε, κακοδοξίας ἀντίπαλος κράτιστος.
Χαῖρε, τοῦ Ὄρους Ἄθω ἡ αἴγλη·
χαῖρε, Μονῆς Θεολόγου ἡ σκέπη.
Χαίροις, πάτερ παγκόσμιε.

## Συναξάριον.

Τῇ ΙΒ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Παϊσίου τοῦ Ἁγιορείτου, ἐν εἰρήνῃ τελειωθέντος κατὰ τὸ χιλιοστὸν ἐνακοσιοστὸν ἐνενηκοστὸν τέταρτον ἔτος (1994).

## Στίχοι.

Ζήσας Παΐσιος μόνος Θεῷ μόνῳ,
Πολλοὺς τεθλιμμένους ἐκούφισεν πόνων.
Ἡνωμένος γὰρ τῷ Θεῷ δι᾽ ἀγάπης,
Παραμυθεῖσθαι πάντας εἴληφεν χάριν.

Δωδεκάτῃ Παΐσιος ἀνέσπερον αὐγὴν εἶδε.

Ὁ ὅσιος πατὴρ ἡμῶν Παΐσιος, ὁ Ἁγιορείτης, ἐγεννήθη ἀπὸ γονέων εὐλαβῶν, τοῦ Προδρόμου καὶ τῆς Εὐλογίας, εἰς τὰ Φάρασα τῆς Καππαδοκίας κατὰ τὸ χιλιοστὸν ἐνακοσιοστὸν εἰκοστὸν τέταρτον ἔτος (1924), ὀλίγον πρὸ τῆς ὀδυνηρᾶς φυγῆς τῶν Φαρασιωτῶν ἐκ τῆς πατρῴας γῆς καὶ τῆς καταφυγῆς των εἰς τὴν μητέρα Ἑλλάδα. Βρέφος, ὀλίγων μόλις ἡμερῶν, ἐβαπτίσθη ὑπὸ τοῦ διαλάμποντος ἐν ἁγιότητι πολιοῦ ἱερέως τῶν Φαράσων, ὁσίου Ἀρσενίου τοῦ Καππαδόκου, ὅστις ὠνόμασεν αὐτὸν Ἀρσένιον, θέλων νὰ ἀφήσῃ, καθὼς εἶπε, «*καλόγηρον εἰς τὸ πόδι του*». Εἰς τὴν Ἑλλάδα ἡ οἰκογένεια τοῦ ὁσίου Παϊσίου ἐγκατεστάθη εἰς τὴν Κόνιτσαν τῆς Ἠπείρου, ὅπου ὁ Ὅσιος διῆλθε τὴν παιδικὴν αὐτοῦ ἡλικίαν, γαλουχηθεὶς διὰ τῶν διηγήσεων περὶ τοῦ θαυμαστοῦ βίου τοῦ ἁγίου Ἀρσενίου, ὥστε ἀπὸ τῆς ἡλικίας τῶν πέντε ἐτῶν ἔλεγεν ὅτι θὰ γίνῃ μοναχός. Καὶ ὅτε ἔμαθεν ἀνάγνωσιν, εἶχεν ὡς ἐντρύφημα τὸ ἱερὸν Εὐαγγέλιον καὶ τοὺς βίους τῶν Ἁγίων, τοὺς ἀσκητικοὺς ἀγῶνας τῶν ὁποίων μετὰ ζήλου θερμοῦ ἐμιμεῖτο. Μετὰ τὴν πρώτην ἐγκύκλιον παιδείαν δὲν ἠθέλησε νὰ μάθῃ περισσότερα

γράμματα, ἀλλὰ ἐπιθυμῶν νὰ μιμηθῇ τὸν Χριστὸν ἐμαθήτευσεν εἰς ξυλουργεῖον, ἔνθα ἐπιμελῶς καὶ ἐπιτηδείως εἰργάζετο. Εἰς τὴν ἡλικίαν τῶν δεκαπέντε ἐτῶν ἠξιώθη τῆς φιλανθρώπου ἐμφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατόπιν ἑνὸς φιλοτίμου λογισμοῦ, διὰ τοῦ ὁποίου μετὰ σοφίας ἀπέκρουσε δαιμονικήν τινα προσβολὴν ἀπιστίας. Ἔκτοτε, ἐπερίσσευσεν ἐν τῇ καρδίᾳ αὐτοῦ τὸ πῦρ τῆς θείας ἀγάπης καὶ ὁ πόθος τῆς μοναχικῆς ζωῆς.

Ἐν καιρῷ ταραχῆς καὶ πολέμου εἰς τὴν Ἑλλάδα, ὁ Ὅσιος, καὶ ὡς ἁπλοῦς πολίτης καὶ ὡς στρατιώτης – ὑπηρετῶν ὡς ἀσυρματιστὴς τὴν στρατιωτικὴν αὐτοῦ θητείαν – ἐπέδειξεν ἀπαράμιλλον ἀνδρείαν καὶ αὐτοθυσίαν, πρόθυμος ὢν πάντοτε νὰ δώσῃ καὶ αὐτὴν τὴν ζωήν του ὑπὲρ τῆς σωτηρίας τῶν ἄλλων. Εὑρεθεὶς δὲ πολλάκις ἐν μέσῳ πυρῶν, πολλοὺς διέσωσε διὰ τῶν διαπύρων αὐτοῦ προσευχῶν, ἀλλὰ καὶ αὐτὸς θαυμαστῶς διεσώθη. Μετὰ τὴν ἀποστράτευσίν του ἐκ τῶν τάξεων τοῦ στρατοῦ, εἰργάσθη ἐπὶ τριετίαν τὴν ξυλουργικὴν τέχνην, ἵνα συνδράμῃ οἰκονομικῶς τὴν οἰκογένειάν του. Καὶ εἰς τὴν ἡλικίαν τῶν εἴκοσι ἐννέα ἐτῶν, καταλιπὼν πάντα τὰ τοῦ κόσμου, ἀνέδραμεν εἰς τὸ Ἅγιον Ὄρος. Φλεγόμενος δὲ ὑπὸ τοῦ πόθου τῆς ἡσυχίας καὶ πάντοτε νεύσει Θεοῦ κινούμενος, ἠσκήτευσεν εἰς διαφόρους Μονὰς καὶ Σκήτας τοῦ Ἁγίου Ὄρους, καὶ εἰς τὴν ἐν Στομίῳ τῆς Ἠπείρου Ἱερὰν Μονὴν τῆς Παναγίας – τὴν ὁποίαν καὶ ἀνῳκοδόμησε – καὶ εἰς τὸ ἐν Σινᾶ ἀσκητήριον τῶν ἁγίων Γαλακτίωνος καὶ Ἐπιστήμης. Ἅπας δὲ ὁ βίος αὐτοῦ ἦτο νηστεία διαρκής, ἐγκράτεια ἀσύγκριτος, ἀγρυπνία ἄπαυστος, προσευχὴ ἀδιάλειπτος, μετὰ πράξεως μελέτη τῶν ἁγίων Πατέρων, καὶ δὴ τοῦ ἀββᾶ Ἰσαάκ, ἄκρα σκληραγωγία καὶ καρτερία μετὰ ἀνδρείας καὶ ἀκαταπαύστου δοξολογίας.

Διὰ τῶν ὑπερφυῶν ἀγώνων, εἰς τοὺς ὁποίους ταπεινῶς ὁ Ὅσιος ὑπεβάλλετο, ἐνίκησε τὸν πολυμήχανον διάβολον, ἡνώθη μετὰ τοῦ Θεοῦ καὶ ηὐφραίνετο ἐκ τῆς θείας παρακλήσεως. Ζῶν ὡς ἄσαρκος ἐπὶ τῆς γῆς, οὐρανοπολίτης ἐγένετο· καὶ τὴν

πρᾶξιν θεωρίας ἐπίβασιν ἔχων, εἰς ὑψηλὰς ἀναβάσεις ἀνῆλθε καὶ οὐρανίων μυστηρίων ἐγένετο κοινωνός. Διότι, καὶ τῆς ὡραιότητος τοῦ Χριστοῦ κατετρύφησε, καὶ Θεομητορικῶν εὐλογιῶν ἀπέλαυε, καὶ τῆς ἐμφανίσεως Ἁγίων ἠξιώθη, ὡς τοῦ ἁγίου Ἀρσενίου τοῦ Καππαδόκου, τοῦ ἁγίου Ἰσαὰκ τοῦ Σύρου, τοῦ ἁγίου Λουκιλλιανοῦ, τοῦ ἁγίου Παντελεήμονος, τοῦ ἁγίου Βλασίου τοῦ ἐν Σκλαβαίνοις, τῆς ἁγίας Αἰκατερίνης, τῆς ἁγίας Εὐφημίας, ἡ ὁποία ἐπεσκέφθη τὴν Καλύβην αὐτοῦ καὶ συνωμίλησε μετ᾽ αὐτοῦ. Ὡσαύτως καὶ τὸν Φύλακα αὐτοῦ Ἄγγελον εἶδε, καὶ ἀγγελικὰς ἤκουεν ὑμνῳδίας, καὶ φωτὶ οὐρανίῳ κατηυγάζετο.

Φῶς δὲ ὅλος γενόμενος, ἀδύνατον ἦτο νὰ μένῃ πλέον ἀφανής, ὡς αὐτὸς ἐπεθύμει. Τὸ ὄνομα αὐτοῦ, πανταχοῦ διατρέχον, ἐφείλκυε πλῆθος ἀνθρώπων, πάσης ἡλικίας καὶ τάξεως, πρὸς τὴν πλησίον τῶν Καρεῶν ταπεινὴν Καλύβην του, τὴν ἐπονομαζομένην «Παναγούδα». Ἐκεῖ ἔζησεν ὁ Ὅσιος τὰ τελευταῖα δεκατέσσαρα ἔτη τῆς ἐπιγείου ζωῆς του, εἰ καὶ σφοδρῶς ἐπόθει τὴν πεφιλημένην του ἡσυχίαν καὶ ἐλογίζετο ὅπως μεταβῇ εἰς τόπον ἄγνωστον καὶ ἐκεῖθεν, διὰ τῆς προσευχῆς, ἐλεῇ καὶ στηρίζῃ ἀφανῶς τὸν κόσμον. Πληροφορίαν ὅμως ἔλαβεν ἄνωθεν, ὅτι ἄλλο ἦτο τὸ θέλημα τοῦ Θεοῦ· ὤφειλε νὰ παραμείνῃ εἰς τὴν Καλύβην του πρὸς παράκλησιν καὶ στήριξιν τῶν προστρεχόντων εἰς αὐτόν. Ὅθεν ἐν μὲν τῇ νυκτί, ὡς λαμπὰς τηκόμενος, προσηύχετο μετὰ πόνου ὑπὲρ τοῦ κόσμου παντός, μνημονεύων ἰδιαιτέρως καὶ πλῆθος ὀνομάτων ζώντων τε καὶ κεκοιμημένων. Ἐν δὲ τῇ ἡμέρᾳ ἐδαπανᾶτο εἰς τὸ ἀναπαύειν τὸ πλῆθος τῶν συῤῥεόντων εἰς τὴν Καλύβην του, καλὸς οἰκονόμος γινόμενος τῶν μεγάλων χαρισμάτων, διὰ τῶν ὁποίων ὁ ἐλεήμων Θεὸς εἶχε πλουτίσει αὐτόν. Διότι, καὶ ἐξ ὀνόματος πολλοὺς ἀγνώστους προσιόντας εἰς αὐτὸν ἐκάλει, καὶ τὰ κρυπτὰ τῶν καρδιῶν διέβλεπε, καὶ τὰ μέλλοντα προέλεγε, καὶ μετὰ ἀλλογλώσσων συνωμίλει, καὶ ἀσθενείας – σωματικὰς καὶ ψυχικὰς – ἐθεράπευε, καὶ ἐξουσίαν ἐπὶ πνευμάτων ἀκαθάρτων

εἶχεν, ὥστε καὶ δαιμονῶντας ἠλευθέρωσε διὰ τῆς ἐπικλήσεως τοῦ ὀνόματος τοῦ Χριστοῦ. Οἱ δὲ λόγοι αὐτοῦ ἦσαν *«ὡς λόγοι Θεοῦ»*, κατὰ τὸν Ἀπόστολον, καὶ δι᾽ αὐτῶν ἐδείκνυε τοῖς πᾶσι τὸν ἀληθῆ σκοπὸν τῆς ἐπιγείου ζωῆς – τὸ ἑτοιμάζεσθαι δηλονότι διὰ τὴν μέλλουσαν – καὶ προέτρεπεν εἰς μετάνοιαν, ἐξομολόγησιν καὶ ἀγῶνα φιλότιμον.

Ἦτο δὲ ὁ Ὅσιος ἐν ταῖς ἀναστροφαῖς γλυκύς, ἁπλοῦς, προσηνής, ἐλεήμων, λίαν παρηγορητικός, καὶ ἐν ἑνὶ λόγῳ ὅλος ἀγάπη. Ἐνίοτε ὅμως ἐγίνετο ὡς *«λέων πῦρ πνέων»* πρὸς ὅσους ἠθελημένως παρεξέκλινον τοῦ θείου νόμου καὶ τῶν πατερικῶν παραδόσεων. Ἰδιαιτέρως δὲ ἐπολέμει τὸ κοσμικὸν φρόνημα, θεωρῶν τοῦτο μέγιστον ἐχθρὸν τῆς σωτηρίας τῶν πιστῶν, καὶ δὴ τῶν μοναχῶν.

Ὁ ἀκαταπόνητος οὗτος ἀσκητής, ὑπομείνας ἐκ νεότητος πολλὰς σωματικὰς ἀσθενείας, ὑπέμεινεν ἐν τέλει εὐχαρίστως καὶ τοὺς μαρτυρικοὺς πόνους τοῦ καρκίνου, ἐκ τῶν ὁποίων ἀνεπαύθη τὴν δωδεκάτην Ἰουλίου τοῦ χιλιοστοῦ ἐνακοσιοστοῦ ἐνενηκοστοῦ τετάρτου ἔτους (1994), ζήσας ἐν ὅλῳ ἔτη ἑβδομήκοντα. Ἐκοιμήθη εὑρισκόμενος εἰς τὸ Ἱερὸν Ἡσυχαστήριον τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου (πλησίον τῆς Θεσσαλονίκης), διὰ τὴν ἵδρυσιν τοῦ ὁποίου εἶχε βοηθήσει καὶ τοῦ ὁποίου ὑπῆρξε καθοδηγητὴς ἐπὶ τριάκοντα σχεδὸν ἔτη. Ἐνθάδε εἶχεν ἐναποθέσει καὶ τὰ ἱερὰ λείψανα τοῦ ἁγίου Ἀρσενίου τοῦ Καππαδόκου, τοῦ καὶ ἀναδόχου του, ἐνθάδε ἠθέλησε νὰ ἐνταφιασθῇ καὶ νὰ παραμείνῃ ἕως τῆς Δευτέρας τοῦ Χριστοῦ Παρουσίας. Ὁ δὲ τάφος αὐτοῦ ἰατρεῖον ὑπάρχει πνευματικὸν καὶ θερμὸν καταφύγιον, καὶ οἱ πίστει προστρέχοντες παραμυθίαν λαμβάνουσι καὶ δεινῶν ἀπολύτρωσιν.

Ὁ ὅσιος Παΐσιος, ζῶν ἐπὶ γῆς, ἐδόθη ὅλως εἰς τὸν Θεὸν καὶ εἰς τοὺς ἀνθρώπους· νῦν δέ, ἐν Οὐρανῷ εὑρισκόμενος, ἐδόθη δῶρον ἐκ τοῦ Θεοῦ εἰς πᾶσαν τὴν οἰκουμένην.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός,
ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

### Ὠδὴ ζ΄. **Παῖδες Ἑβραίων.**

Ῥήματα ἔβλυζεν ἀγάπης
ἡ ἁπλῆ σου καὶ φιλόστοργος καρδία,
ἃ ἐνόουν σαφῶς λαοί, φυλαὶ καὶ γλῶσσαι
καὶ ἡλικίαι ἅπασαι, ὦ Παΐσιε θεόφρον.

Φῶς τὸ ἐκλάμπον τῇ μορφῇ σου
τὴν λαμπρότητα ἐδείκνυ τῆς ψυχῆς σου·
ὅθεν πᾶς σὲ ὁρῶν ἐκ θάμβους ἠλλοιοῦτο,
βοῶν· Ἀρκεῖ μοι βλέπειν σε, ὦ γλυκύτατέ μου Πάτερ.

Ὕδωρ ζωήρρυτον ἀντλοῦμεν
τῇ μελέτῃ τῶν ἁγίων σου ῥημάτων·
ἀναβλύζουσι γὰρ κρουνοὺς θεογνωσίας
καὶ πρὸς ζωὴν ἀνάγουσι φωτεινὴν καὶ μακαρίαν.

### Θεοτοκίον.

Σκέπη ὑπάρχουσα, Παρθένε,
ὡς νεφέλη μυστικῶς ἐπισκιάζεις
καὶ φρουρεῖς ἀσφαλῶς ἐκ βλάβης ἀσεβούντων
τοὺς ὀρθοδόξως, Πάναγνε, σὲ τιμῶντας εἰς αἰῶνας.

### Ἕτερος. **Οὐκ ἐλάτρευσαν.**

Ῥῆμα ἄξιον τοῦ ἐξειπεῖν οὐκ ἔχομεν
πῶς ὑπερέβαινες τοὺς νόμους τοὺς φυσικούς,
τελῶν πλεῖστα θαύματα, καὶ πῶς ἐνόησας
θείᾳ Χάριτι τῶν νόμων τῶν πνευματικῶν
τὴν ἐνέργειαν, Παμμάκαρ.

Ἀληθέστατον τὸ τοῦ Κυρίου λόγιον,
ὅτι οὐ δύναται κρυβῆναι λύχνος φωτός·
καὶ γὰρ τὸ σὸν ὄνομα, ὡς μὴ κρυπτόμενον,
πᾶσιν ἔλαμψεν ἀποστεροῦν σε, Ὅσιε,
τῆς σῆς φίλης ἡσυχίας.

Μέγαν εὕραντο πατέρα οἱ συῤῥέοντες
εἰς τὴν Καλύβην σου· κατέθελγες γὰρ αὐτοὺς
ἁπλότητι τρόπων σου, χάριτι λόγων σου,
καὶ παραίνεσις αὐτοῖς ὑπῆρχες, Ὅσιε,
φθεγγομένη καὶ σιγῶσα.

**Θεοτοκίον.**

Ὑπὲρ ἥλιον λαμπρὰν τῇ ὡραιότητι
ψυχῆς καὶ σώματος εὑρών σε ὁ Λυτρωτής,
ἐν σοὶ κατεσκήνωσεν, ἵνα ἐνδύσῃ ἡμᾶς
τὸ ὑπέρλαμπρον ἀρχαῖον κάλλος, Δέσποινα,
πανυπέραγνε Παρθένε.

**Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.**

Ἰαμάτων τὴν χάριν ὡς πλουτήσας,
νοσημάτων δεινῶν ἀπήλλασσες νοσοῦντας·
ἀλλὰ τὴν σὴν ἀνίατον ἀσθένειαν
ὑπέμεινας γενναίως, δι᾽ ἀγάπην θέλων
τοῖς πάσχουσι συμπάσχειν.

Νοερῶν Ἀσωμάτων ἐνωτίζου
ὑμνῳδούντων Θεῷ τὸν τρισάγιον ὕμνον,
ὅτε ἡ νόσος μὲν κατέτηκε τὸ σῶμά σου,

σὺ δέ, καρτερόφρον, ὡς ἂν μὴ ἔχων σῶμα,
τὴν ἄσκησιν ἐτήρεις.

Ἀποθέμενοι ἅπαν τὸ φορτίον
τῶν τοῦ βίου δεινῶν τῷ τάφῳ σου, Παμμάκαρ,
ἰσχύν, χαράν, ἐλπίδα κομιζόμεθα
καὶ τῶν ἀνιάτων δεινῶν τε νοσημάτων
ἰάματα ἀντλοῦμεν.

**Θεοτοκίον.**

Θεῖος θρόνος ὡς οὖσα, Θεοτόκε,
δυσωπῶ σε θερμῶς, μή με ἐάσῃς μόνον,
ὅτε Κριτοῦ τῷ θρόνῳ παραστήσομαι,
ἀλλὰ πρόστηθί μοι ὡς καλὴ μεσῖτις
καὶ ῥῦσαι καταδίκης.

**Ἕτερος. Παῖδας εὐαγεῖς.**

Θύσατε ἑαυτοὺς ὑπὲρ ἀλλήλων
καὶ θείας χαρμονῆς ἐπαπολαύσετε,
λόγῳ μὲν ἐδίδαξας, ἔργῳ δὲ ἐβεβαίωσας·
τὰ πάντα γὰρ γιγνόμενος τοῖς πᾶσιν, Ὅσιε,
ἐγεύου θείας παραμυθίας,
νῦν δὲ ὅλης ὅλως χαρᾶς ἐπαπολαύεις.

Ἰθύνεις χοροὺς τῶν μοναζόντων
διδάσκων· Γενναιοφρόνως ἀγωνίζεσθε
μετὰ ταπεινώσεως καὶ πολλῆς συνέσεως,
καλῶς ὑποτασσόμενοι καὶ προσευχόμενοι
ἀπαύστως, τῇ εὐχῇ ἐντρυφῶντες
καὶ δοξολογοῦντες Θεὸν ἐν εὐλαβείᾳ.

Ἀφαρπάζεις ταχὺ ἐκ τοῦ ὀλέθρου,
κινδύνους ἀποσοβεῖς, πάτερ Παΐσιε,
ἐπισκέπτῃ ἄνωθεν ὁρατῶς τοὺς πάσχοντας,
ὑγείαν τοῖς νοσοῦσι μὲν παρέχων, Ὅσιε,
χαρὰν δέ, εἰρήνην καὶ ἐλπίδα
τοῖς ἐν ἀπογνώσει δεινῶς βεβυθισμένοις.

**Θεοτοκίον.**

Προεῖδέ σε, Παρθένε, ὁ Προφήτης,
ὡς πάγχρυσον στάμνον μάννα φέρουσαν·
νῦν δέ σε γιγνώσκομεν ζωηφόρον τράπεζαν,
Χριστὸν τὸν Ἄρτον φέρουσαν, τὸν ἀδαπάνητον,
εἰς πάντων ζωὴν καὶ σωτηρίαν·
ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

**ᾨδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.**

Λαμπρῶς τελοῦντες μνήμην τὴν ἱερὰν
Παϊσίου τοῦ θείου, σπουδάσωμεν καὶ τὰς ψυχὰς
ταῖς τούτου κοσμήσασθαι ἀρεταῖς,
τὸν ζῆλον ἐκμιμούμενοι,
ἅμα τὴν ἀνδρείαν, τὴν προσευχήν,
τὴν ταπεινοφροσύνην, τὴν πρὸς Θεὸν ἀγάπην
καὶ τὴν θυσίαν τὴν φιλότιμον.

Ὁλόλευκον ὑφάνας περιβολὴν
τῆς ψυχῆς, δι᾽ ἀπαύστου ἀσκήσεως καὶ προσευχῆς,
εἰς νυμφῶνα πλήρη θείου φωτὸς
εἰσῆλθες, Πάτερ ὅσιε,

ἔνθα σε ἐδέξατο ὁ χορὸς
ἁπάντων τῶν Ὁσίων, τοῦ θείου Ἀρσενίου
ἀγαλλιάσει προεξάρχοντος.

Ὑπέρλαμπρος ἡ δόξα καὶ εὐκλεής,
ἧς μετέχεις, Παΐσιε ὅσιε, ἐν οὐρανοῖς·
ταύτην μαρτυροῦσιν ἐπὶ τῆς γῆς
τὰ σὰ ποικίλα θαύματα,
ὧνπερ ἀπολαύομεν οἱ πιστοί,
δι᾽ ὧν καὶ μεγαλύνεις τὸν Κύριον τῆς δόξης,
τὸν ἐν Ἁγίοις δοξαζόμενον.

**Θεοτοκίον.**

Σωτῆρα ἡ τεκοῦσα καὶ Λυτρωτήν,
καὶ ἡμᾶς σωτηρίας ἀξίωσον, ὡς ἀγαθή,
ὅπως ἐμπλησθῶμεν θείου φωτὸς
καὶ ψάλωμεν γηθόμενοι
τρισάγιον ὕμνον ἐν οὐρανοῖς
σὺν πᾶσι τοῖς Ἁγίοις, δοξάζοντες Πατέρα,
Υἱὸν καὶ Πνεῦμα τὸ Πανάγιον.

**Ἕτερος. Ἅπας γηγενής.**

Ἅπας γηγενὴς
σκιρτᾷ καὶ ἀγάλλεται, πάτερ Παΐσιε,
ὅτι διετράνωσας τῇ πολιτείᾳ σου καὶ τοῖς θαύμασιν
εἰς πάσης γῆς τὰ πέρατα ἐν τοῖς ὑστέροις καιροῖς,
ὅτι ὄντως ὁ Χριστὸς καὶ σήμερον,
ὥσπερ χθὲς καὶ ἀεὶ ὁ αὐτός ἐστι.

Νεῦσον συμπαθῶς
ἡμῖν, Πάτερ ὅσιε, τοῖς ἐκτελοῦσι λαμπρῶς
τὴν ἁγίαν μνήμην σου καὶ πᾶσαν αἴτησιν διαβίβασον
τῷ θρόνῳ τοῦ Παντάνακτος, καθὼς ὑπέσχου σαφῶς
τοῖς σοῖς τέκνοις, ὡς πατὴρ φιλότεκνος,
πρὸ τῆς σῆς μακαρίας κοιμήσεως.

Τάξεις μοναχῶν,
πιστῶν τὰ συστήματα, πάτερ Παΐσιε,
πᾶσα ἡλικία τε καὶ ἅπαν γένος πανηγυρίζομεν
καὶ εὐλαβῶς προσπίπτοντες τῷ θείῳ τάφῳ σου,
ἐκζητοῦμεν δεινῶν ἀπολύτρωσιν
καὶ ὑγείαν ψυχῆς τε καὶ σώματος.

Ὢ τετρὰς σεπτή,
Ἀρσένιε ὅσιε, πάτερ Παΐσιε,
Εὐφημία ἔνδοξε, σὺν Ἀποστόλῳ ἠγαπημένῳ Χριστῷ,
τοὺς συνελθόντας σήμερον τῇ θείᾳ ταύτῃ Μονῇ
οὐρανόθεν δεῦτε εὐλογήσατε
καὶ χαρᾶς οὐρανίου πληρώσατε.

**Θεοτοκίον.**

Νέμοις δωρεὰς
τοῖς πόθῳ ὑμνοῦσί σε καὶ μακαρίζουσι
τὴν ἀειμακάριστον, τὴν Θεὸν Λόγον ἀφράστως τέξασαν
τὸν ποιητὴν τῆς κτίσεως, τὸν ὑπερύμνητον,
Ὃν ὑμνοῦσιν Ἀγγέλων τὰ τάγματα,
τὸν τρισάγιον ὕμνον προσᾴδοντα.

## Ἐξαποστειλάρια.

### Ἦχος γ΄. **Ἀπόστολοι ἐκ περάτων.**

Πηγὴ ἀείρρυτος ὤφθης χριστομιμήτου ἀγάπης,
Παΐσιε θεοφόρε, τὴν οἰκουμένην ἀρδεύων
τοῖς ῥείθροις τῶν σῶν ῥημάτων
καὶ ὄμβροις τῶν σῶν θαυμάτων.

### Ἕτερον. Ἦχος β΄. **Τοῖς Μαθηταῖς.**

Συναθροισθέντες σήμερον
τῇ ἁγίᾳ σου μνήμῃ
ἐν τῷ ναῷ σου, Ὅσιε, καὶ κύκλῳ τοῦ σοῦ τάφου,
ἐν εὐλαβείᾳ βοῶμεν· Ὦ Παΐσιε πάτερ,
καὶ τάφῳ καλυπτόμενος,
ἀοράτως ὑπάρχεις μέσον ἡμῶν,
ὅθεν δέξαι πάντων τὰς ἱκεσίας
καὶ δώρησαι πρεσβείαις σου
πᾶσι τὴν σωτηρίαν.

### Θεοτοκίον.

Χάριν μεγίστην εὕρηκας
ἐκ Θεοῦ, ὡς ἐβόα
ὁ Γαβριὴλ σοι, Πάναγνε, Μεγαλόχαρη Κόρη·
ὅθεν ἡμεῖς γηθοσύνως ἐκτενῶς σοι βοῶμεν·
Χαῖρε, ἡμῶν πρὸς Κύριον
θερμοτάτη πρεσβεία·
χαῖρε, δι᾽ ἧς θείας ἠξιώθημεν μετουσίας·
Πανύμνητε, οὐ παύσομεν
ἀναμέλπειν σοι· Χαῖρε.

## Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχους δ´ καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια.

Ἦχος α´. **Πανεύφημοι Μάρτυρες.**

Σκιρτήσατε ὄρη ἐν χαρᾷ
σὺν τῷ Ἄθῳ σήμερον,
ἡ οἰκουμένη δὲ χόρευε, ὕμνοις δοξάζουσα
Κύριον τὸν δόντα ἐν ἐσχάτοις ἔτεσι
Παΐσιον, Ὁσίων τὸ καύχημα,
πιστῶν ἑδραίωμα, μετανοίας τὸν διδάσκαλον,
ἀληθείας ὑπέρμαχον ἄριστον.

Ὢ πόσων χαρίτων καλλοναῖς
τὴν ψυχὴν ἐκόσμησας,
ὅσιε πάτερ Παΐσιε· ζῆλον γὰρ πύρινον
Ἠλιοὺ ἐκτήσω, Δανιὴλ τὴν σύνεσιν,
γενναίων Μακκαβαίων τὸ φρόνημα,
τὸν θεῖον ἔρωτα Ἰγνατίου, ἐπὶ πᾶσι δὲ
τὴν ἀγάπην τοῦ Παύλου τὴν ἄμετρον.

Ἀκένωτος ὄντως θησαυρὸς
ἡ πολλὴ ἀγάπη σου,
δι᾽ ἣν συμπάσχων τοῖς πάσχουσιν, ἐπ᾽ ὤμων ἤνεγκας
τὰς ὀδύνας τούτων καὶ προθύμως ὥδευσας,
Παμμάκαρ, τὴν ὁδὸν τῆς σταυρώσεως,
ἐν ᾗ εὑράμενος τὴν χαρὰν τὴν ἀναστάσιμον,
οἰκουμένης παράκλησις γέγονας.

Ἐπίφανον ἄνωθεν ἡμῖν
ὡς πρόμαχος κράτιστος,
φρουρῶν, φυλάττων, λυτρούμενος ἐκ πάσης θλίψεως·
στῆσον τῶν πολέμων τὸ δεινὸν κλυδώνιον,
τὴν πίστιν τὴν ὀρθόδοξον κράτυνον,
εἰρήνην δώρησαι ταῖς ψυχαῖς ἡμῶν, δεόμεθα,
σαῖς πρεσβείαις, Παΐσιε ὅσιε.

**Δόξα. Ἦχος πλ. α΄.**

Ὅσιε πάτερ, τὸν πολύτιμον μαργαρίτην εὑρών,
ὅς ἐστι Χριστὸς ὁ Θεός,
τὰ πάντα χαίρων ἔδωκας,
ἕως θανάτου ἀγωνισάμενος,
ἵνα αὐτὸν μόνον κερδήσῃς.
Ἀμέτρῳ πόθῳ δὲ κτησάμενος αὐτόν,
πλοῦτον ὑπερκόσμιον ὑπερεπλούτησας·
ὃν καὶ φυλάττων νηφούσῃ καρδίᾳ
ἐν τοῖς ταμιείοις τῆς ἡσυχίας,
ἐξ ἀρχοντικῆς ἀγάπης μετὰ πόνου διένεμες,
ἔργοις, λόγοις, μεγίστοις θαύμασι
καταπλουτίζων τὸν κόσμον.
Καὶ νῦν, θεοδόξαστε Παΐσιε,
ἀπολαύων τῶν παρὰ Θεοῦ ἡτοιμασμένων ἀγαθῶν
τοῖς ἀγαπῶσιν Αὐτόν, πρέσβευε ὑπὲρ ἡμῶν,
ὅπως καλῶς τὸν παρόντα βίον πραγματευσάμενοι
κτησώμεθα ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουράνια.

**Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.**

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,
καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος,
τὴν πόλιν τὴν ἄσειστον,
τὸ τεῖχος τὸ ἄῤῥηκτον,
τὴν ἀῤῥαγῆ προστασίαν
καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

**Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.**

# Εἰς τὴν Θείαν Λειτουργίαν

**Τὰ Τυπικὰ καὶ εἰς τοὺς Μακαρισμοὺς ἐκ τοῦ πρώτου Κανόνος ἡ Ὠδὴ γ´ καὶ ἐκ τοῦ δευτέρου ἡ ϛ´.**

**Ἦχος πλ. δ´.**

**Ὠδὴ γ´. Ὁ στερεώσας κατ' ἀρχάς.**

Ἰδοὺ πεπλήρωται σαφῶς ἡ περὶ σοῦ προφητεία
τοῦ ἁγίου Ἀρσενίου εἰπόντος
ὡς ὁμότροπος αὐτοῦ ὀφθήσῃ, ὦ Παΐσιε·
καὶ νῦν ὡς δύο ἄστρα τὴν Ἐκκλησίαν φαιδρύνετε.

Ὅλος πυρίπνους εἰσελθὼν εἰς κοινοβίου παλαίστραν,
πῦρ ἐτίθεις τῷ πυρὶ καθ' ἡμέραν,
ἐν ἱδρῶσι κοπιῶν καὶ δάκρυσιν εὐχόμενος·
ὅθεν ἡ θεία Χάρις σὲ περιέλουσεν ἄνωθεν.

Ὑπερβαλλόντως ὁ σφοδρὸς τῆς ἡσυχίας ὁ πόθος
σὲ διήγειρε δραμεῖν πρὸς ἐρήμους·
ἔνθα πίνων διαυγῆ τῆς ἀπαθείας νάματα,
πηγὴ ἐγένου, Πάτερ, ὕδωρ τὸ ζῶν ἀναβλύζουσα.

**Θεοτοκίον.**

Ἄχραντε Μῆτερ τοῦ Θεοῦ, τῇ σῇ ἀγάπῃ ἐθέλχθη
ἡ καρδία τοῦ σεπτοῦ Παϊσίου,

ὃς προσπίπτων σοι θερμῶς μετ᾽ εὐλαβείας ἔκραζεν·
Ἡδύτερον οὐκ ἔστι σοῦ τῆς Μητρὸς τοῦ Κυρίου μου.

Ἦχος δ´.

Ὠδὴ ς´. Τὴν θείαν ταύτην.

Ἰλὺν παθῶν ἀποθέμενος,
ἐδείχθης ἀκηλίδωτον ἔσοπτρον,
καὶ φῶς δεξάμενος
τῆς τρισηλίου Θεότητος
ἀντανακλάσεις, Πάτερ, ἡμῖν ἐξήστραψας.

Ἐν σοὶ Θεὸς ἀνεπαύσατο,
ἐπεὶ ἠρνήσω πᾶσαν ἀνάπαυσιν
καὶ ἐκοπίασας,
νυχθημερὸν δαπανώμενος
τοῦ ἀναπαῦσαι, Ὅσιε, τὸν πλησίον σου.

Πολλὰ ἐποίεις θαυμάσια
εὐχαῖς σου πρὸς Χριστὸν τὸν φιλάνθρωπον,
Οὗπερ καὶ ἔκρουες
ἐν στεναγμοῖς τῆς καρδίας σου
τὴν τοῦ ἐλέους θύραν ἀόκνως, Ὅσιε.

Θεοτοκίον.

Ἁγνείας θεῖον κειμήλιον,
πανεύοσμον Θεοῦ οἰκητήριον,
οἶκόν με ποίησον
τῶν χαρισμάτων τοῦ Πνεύματος
ταῖς σαῖς πρεσβείαις, Κόρη ἀειμακάριστε.

**Ἀπολυτίκιον.**

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Τῆς ἐνθέου ἀγάπης τὸ πῦρ δεξάμενος,
ὑπερβαλλούσῃ ἀσκήσει ἐδόθης ὅλος Θεῷ
καὶ παράκλησις πολλῶν ἀνθρώπων γέγονας,
λόγοις θείοις νουθετῶν, προσευχαῖς θαυματουργῶν,
Παΐσιε θεοφόρε· καὶ νῦν πρεσβεύεις ἀπαύστως
ὑπὲρ παντὸς τοῦ κόσμου, Ὅσιε.

**Κοντάκιον.**

**Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Ἀγγελικῶς ἐπὶ τῆς γῆς πολιτευσάμενος
καὶ δι᾽ ἀγάπης λάμψας, ὅσιε Παΐσιε,
μοναζόντων μέγα στήριγμα ἀνεδείχθης,
τῶν πιστῶν χειραγωγὸς πρὸς βίον ἅγιον,
οἰκουμένης δὲ ἐντρύφημα γλυκύτατον·
διὸ κράζομεν· Χαίροις, Πάτερ παγκόσμιε.

**Ἀπόστολος.**

**Προκείμενον τοῦ Ἀποστόλου.**

**Ἦχος βαρύς.**

**Καυχήσονται ὅσιοι ἐν δόξῃ.**

**Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.**

**Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.**

(Γαλ. 5, 22-6, 2)

Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρᾳότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι

νόμος. Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν Πνεύματι, πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες. Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρᾳότητος, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

**Ἀλληλούϊα (γ΄). Ἦχος α΄.**

**Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.**

**Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.**

**Τὸ Εὐαγγέλιον.**

**Ἐκ τοῦ κατὰ Λουκᾶν.**

(6, 17-23)

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ᾽ αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ, ἔλεγε· Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε

ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

**Κοινωνικόν.**

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.



Ὁ ἍΓΙΟΣ
ΠΑΪΣΙΟΣ
Ὁ ἉΓΙΟΡΕΙΤΗΣ
Ἀγάπη κ(αὶ) ταπείνωση· ἐ(κεῖ) αὐτὴν τὴν συχνότητα ἐργάζεται ὁ Θεός

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

Εὐλογήσαντος τοῦ ἱερέως,
λέγομεν τὸν **ΡΜΒ΄ (142ον) Ψαλμόν.**

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε· ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε· πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν

τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

### Ἦχος δ΄.

**Θ**εὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Στίχ. α΄.** Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

**Θ**εὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

**Στίχ. β΄.** Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

**Θ**εὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

**Στίχ. γ΄.** Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

**Θ**εὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τὸν ἐραστὴν τῆς ἱερᾶς ἡσυχίας
καὶ μιμητὴν τῆς τοῦ Θεοῦ εὐσπλαγχνίας,
Παΐσιον τὸν ὅσιον ὑμνήσωμεν·
οὗτος γὰρ ἐν Ἄθωνι καὶ Σινᾶ καὶ Στομίῳ

ζήσας ὥσπερ ἄσαρκος, ἐκλογῆς ὤφθη σκεῦος·
καὶ νῦν προστάτης καὶ χειραγωγὸς
πάντων ὑπάρχει καὶ πρέσβυς πρὸς Κύριον.

**Δόξα.**

Τῆς συμπαθείας σου τὸν ἄμετρον πλοῦτον
καὶ μεσιτείας σου τὴν δύναμιν γνόντες,
οἱ ἐν πελάγει ὄντες ὀλεθρίων παθῶν
καὶ κλυδωνιζόμενοι πειρασμοῖς πολυτρόποις,
σὲ ἐπικαλούμεθα, ὦ Παΐσιε πάτερ·
σπεῦσον ταχύ, διάσωσον ἡμᾶς
καὶ πρὸς λιμένα ὁδήγει ἀκύμαντον.

**Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι·
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Ὁ Ν΄ (50ὸς) Ψαλμός.**

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Καὶ εὐθὺς ὁ Κανών, οὗ ἡ ἀκροστιχίς·**
**«Εὔσπλαγχνε Πάτερ, βοηθὸς γενοῦ πάντων».**
**Ἦχος πλ. δ΄.**
**Ὠδὴ α΄. Ὑγρὰν διοδεύσας.**

Ἐλέους τοῦ θείου ὁ μιμητής,
Παΐσιε πάτερ, ὡς ἠλέεις διηνεκῶς,
τοῖς πᾶσι γενόμενος τὰ πάντα,
νῦν ταῖς πρεσβείαις σου πρόφθασον ἅπαντας.

Ὑπάρχεις σωμάτων ὁ ἰατρός,
ψυχῶν θυμηδία καὶ γλυκεῖα ἀναψυχή,
μέγας ἐν ἀνάγκαις ἀντιλήπτωρ
καὶ ἐν πολέμοις ὑπέρμαχος κράτιστος.

Συνέχομαι, Ὅσιε, νυσταγμῷ
πολλῆς ἀμελείας καὶ συστέλλομαι ἐκζητῶν
τὴν ἀνύστακτόν σου προστασίαν·
ἀλλ᾽ ἐπιστάς μοι ἐγρήγορσιν δώρησαι.

**Θεοτοκίον.**

Παντάνασσα Μῆτερ τοῦ Λυτρωτοῦ,
νέφη τὰ ζοφώδη τῶν κινδύνων καὶ πειρασμῶν
ταχέως διάλυσον καὶ σκέπε
ὡς φωτοφόρος νεφέλη τὴν ποίμνην σου.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Λαμπρυνθεὶς τῇ καρδίᾳ ἀσκητικοῖς πόνοις σου
καὶ καταλαμφθεὶς διανοίᾳ φέγγει τῆς Χάριτος,
φῶς ὅλος γέγονας· ὅθεν ἐκ ζόφου πταισμάτων
ῥῦσαί με πρεσβείαις σου, πάτερ Παΐσιε.

Ἀγαλλόμενος ἄλγη ἀσθενειῶν ἤνεγκας
τῆς ὑπομονῆς καὶ ἀνδρείας τύπος γενόμενος·
κἀμὲ ἐνίσχυσον, ἐν κλίνῃ πόνου πεσόντα,
εἰς χαρὰν οὐράνιον τρέπων τὴν θλῖψίν μου.

Γῆν οὐράνωσας ὄντως, κατατρυφῶν, Ὅσιε,
τῆς ἀγγελικῆς ἡσυχίας, ζέων τῷ πνεύματι·
ἐξ οὐρανοῦ δὲ νῦν, σαῖς πρὸς Θεὸν ἱκεσίαις,
τοῦ ἀστάτου βίου μου παῦσον τὸν τάραχον.

**Θεοτοκίον.**

Χαρμονή, εὐφροσύνη καὶ γλυκασμὸς πέφυκας,
Μήτηρ τῆς χαρᾶς γενομένη, Θεογεννήτρια·
ὅθεν θλιβόμενος, πρὸς σὲ ἀεὶ καταφεύγω,
τὴν θερμὴν παράκλησιν καὶ προστασίαν μου.

Ἐπάκουσον τῶν σὲ καλούντων, Παΐσιε θεοφόρε,
χαριζόμενος συμπαθῶς αὐτῶν τὰ αἰτήματα,
ὡς ἔχων πρὸς Κύριον παῤῥησίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις ὑπὸ τοῦ ἱερέως καὶ εὐθὺς τὸ Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**

Θερμὸς πρεσβευτὴς ὑπάρχων πρὸς τὸν Κύριον,
ἡμῶν τὰς θερμὰς δεήσεις, Πάτερ, πρόσδεξαι
ἐκτενῶς βοώντων σοι·

Ἐν νυκτὶ καὶ ἡμέρᾳ ἡμᾶς φρούρησον
καὶ βοηθὸς γενήθητι ἡμῖν
ἐν τῷ παρόντι αἰῶνι καὶ τῷ μέλλοντι.

**Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.**

Νὺξ πικρᾶς ἀπογνώσεως
τὴν ἐμὴν καρδίαν δεινῶς ἐκάλυψε·
σὺ δὲ φῶς καὶ ἀγαλλίασις,
ὅσιε Παΐσιε, ἐφάνης μοι.

Εὐφροσύνης πληρούμεθα
τάφῳ σου τῷ θείῳ πιστῶς προσπίπτοντες·
βρύει χάριν γὰρ σωτήριον
μυστικῶς ἡμᾶς ἐπισκιάζουσαν.

Πεπτωκότα με ἔγειρον
καὶ πρὸς τὴν μετάνοιαν καθοδήγησον,
ταῖς εὐχαῖς σου ἀπαλλάττων με
ἐκ τῆς τυραννούσης συνηθείας μου.

**Θεοτοκίον.**

Ἀπαθείας λαμπρότητι
σκεῦος καθαρώτατον ὤφθης, Πάναγνε·
ὅθεν κάθαρον τοὺς δούλους σου
μολυσμοῦ σαρκός τε καὶ τοῦ πνεύματος.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

Τεῖχός μοι γενοῦ
σωτηρίας, Πάτερ ὅσιε,

ἐν παντὶ καιρῷ καὶ τόπῳ ἀβλαβῆ
ὡς προστάτης μου καλὸς διαφυλάττων με.

Ἕλκη τῶν παθῶν
τὴν καρδίαν μου μαστίζουσιν·
ἀλλ᾽ οἱ λόγοι σου ὡς βάλσαμον τερπνὸν
ἐπιφέρουσιν εἰρήνην τε καὶ ἴασιν.

Ῥάθυμον ψυχήν,
Πάτερ, κέκτημαι καὶ ἄκαρπον·
ἀλλὰ χάρισαί μοι ζῆλον καὶ ἰσχύν,
πρὸς ἀγῶνας φιλοτίμους διεγείρων με.

**Θεοτοκίον.**

Βήματι φρικτῷ
τοῦ Υἱοῦ σου, Μητροπάρθενε,
ὅτε μέλλω παραστῆναι, δυσωπῶ,
δεξιᾶς χειρός με κράτησον καὶ σῶσόν με.

**Ὠδὴ ϛ΄. Τὴν δέησιν.**

Οἰκτίρμων καὶ πλήρης θείας ἀγάπης,
ἱλαρὸς καὶ ἐλεήμων ἐφάνης,
ὅτι παθῶν καθαρθεὶς ἐν ἐρήμῳ,
ἐλέους σπλάγχνα ἐκέκτησο, Ὅσιε·
νῦν δὲ πρεσβείαις σου θερμαῖς
τὴν γνησίαν ἀγάπην μοι δώρησαι.

Ἠγάπησας τὴν ἀφάνειαν, Πάτερ,
καὶ ἐμίσησας τὴν δόξαν τοῦ κόσμου·

ἀλλ᾽ ὁ τῆς δόξης Θεὸς καὶ Δεσπότης
τὴν σὴν ταπείνωσιν πᾶσιν ἐπέδειξεν·
ταύτης ῥανίδα, δυσωπῶ,
στάλαξόν μοι πρεσβείαις σου, Ὅσιε.

Θερμότατός σε θεῖος ἔρως ἥρπαζε,
καὶ Θεὸν σὺν τοῖς Ἀγγέλοις ἀνύμνεις·
ὅθεν κἀμὲ τῶν γηΐνων φροντίδων
καὶ τῆς ματαίας μερίμνης ἐξάρπασον,
ἵνα καρδίᾳ καθαρᾷ
εὐλογῶ καὶ δοξάζω τὸν Κύριον.

**Θεοτοκίον.**

Ὁ ἔμψυχος τοῦ Θεοῦ Παράδεισος,
τὸ σεπτὸν τῆς εὐωδίας δοχεῖον,
τῆς τῶν παθῶν δυσωδίας με ῥῦσαι
καὶ ἀρετῶν οἰκητήριον δεῖξόν με·
σὺ γὰρ χαρίτων ἡ πηγὴ
καὶ αἰτία ὑπάρχεις, Πανάμωμε.

Ἐπάκουσον τῶν σὲ καλούντων, Παΐσιε θεοφόρε,
χαριζόμενος συμπαθῶς αὐτῶν τὰ αἰτήματα,
ὡς ἔχων πρὸς Κύριον παῤῥησίαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

### Αἴτησις ὑπὸ τοῦ ἱερέως καὶ εὐθὺς τὸ Κοντάκιον.

**Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.**

Ὑπομένων ὑπέμεινας τὸν Κύριον
ἐν ἀσθενείαις τελειωθείς, Πάτερ ὅσιε·
νῦν δὲ πόνων πολυειδῶν ἀνάπαυσιν εὑρών,
ἄριστος ὤφθης ἰατρὸς παθῶν καὶ νόσων χαλεπῶν
τῆς ψυχῆς καὶ τοῦ σώματος,
βρύων παραμυθίαν καὶ ἄμισθον ἰατρείαν
τοῖς καταφεύγουσιν εἰς σέ, πολυθαύμαστε Παΐσιε.

### Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ. (δὶς)

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

### Τὸ Εὐαγγέλιον.

**Ἐκ τοῦ κατὰ Λουκᾶν.** (6, 17-23)

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ᾽ αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ, ἔλεγε· Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε.

Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

**Δόξα. Ἦχος β΄.**

Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν.**

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

**Τὸ Προσόμοιον.**

**Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

Ὅλος συνεχόμενος ἐν ἀπορίᾳ μεγίστῃ,
κρημνισθεὶς εἰς βάραθρον
δεινῆς ἀπογνώσεως καὶ ζοφώσεως,
ὅσιε Παΐσιε, σὲ καθικετεύω,
τὴν ὁδὸν τῆς ἀναβάσεως δεῖξον παρέχων μοι
κλίμακα πρὸς φῶς τὴν ἀνάγουσαν,
ταπείνωσιν, μετάνοιαν,
πίστιν καὶ ἐλπίδα πρὸς Κύριον,
ὅπως εἰς τὸ ὕψος ἀγάπης ἀναβὰς πνευματικῆς
ἀγαλλιάσεως γένωμαι οὐρανίου μέτοχος.

**Ὁ ἱερεύς·** Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου... Εὐθὺς δὲ μετὰ τὴν ἐκφώνησιν· Ἐλέει καὶ οἰκτιρμοῖς... αἱ λοιπαὶ ᾠδαὶ τοῦ **Κανόνος.**

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Στενὰ πάντα μοι ὄντως
καὶ δεινὰ καὶ ἐπώδυνα, πάτερ Παΐσιε·
ἀλλὰ θαῤῥῶν τῷ σθένει
τῶν θείων πρεσβειῶν σου,
πρὸς τὴν σκέπην σου ἔδραμον·
σὺ γὰρ ἐν τάχει θαυμαστῶς
ἐκ πάντων διασῴζεις.

Γαληνόν σε λιμένα
ἐν ἀνάγκαις τοῦ βίου πάντες ἐκτήσαντο·
πενήτων εὐπορία,
γερόντων βακτηρία,
σὺ γὰρ πέφηνας, Ὅσιε,
ἀπηλπισμένων ἐλπίς,
παράκλησις πενθούντων.

Ἐκ δεινῶν νοσημάτων
τοὺς νοσοῦντας ἀπάλλαξον, πάτερ Παΐσιε·
καρκίνου πάθος λῦσον,
ἡμιθανεῖς τῆς κλίνης
τοῦ θανάτου διάσωσον,
τυφλοῖς παράσχου τὸ φῶς,
ἀλάλοις ὁμιλίαν.

**Θεοτοκίον.**

Νοῦν, ψυχὴν καὶ καρδίαν
πρὸς σὲ αἴρω, τὴν κόσμου μόνην βοήθειαν,
καὶ πίστει ἀνακράζω·
Κινδύνων πολυτρόπων
τῶν κυκλούντων με λύτρωσαι
τῇ μητρικῇ σου, Ἁγνή,
πρὸς Κύριον πρεσβείᾳ.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Ὁ διαλάμψας
εἰς τὸν ἰσάγγελον βίον
θεωρίᾳ τε καὶ πράξει, ὦ θεόφρον,
φῶς τῶν μοναζόντων ὑπάρχεις εἰς αἰῶνας.

Ὑπὲρ τοῦ ἔθνους
πρὸς τὸν Σωτῆρα ὡς πρέσβυς
στῆθι, ὅσιε Παΐσιε, πρεσβεύων
ἐξ ἐχθρῶν παντοίων λυτροῦσθαι εἰς αἰῶνας.

Πίστιν γνησίαν
Ὀρθοδοξίας φυλάττειν
γενναιότατα, ὡς ἄλλοι Μακκαβαῖοι,
στήριξον τοὺς νέους ταῖς πρὸς Θεὸν εὐχαῖς σου.

**Θεοτοκίον.**

Ἁγνὴ Παρθένε,
ὅσα κἂν βούλῃ ἰσχύεις,
ὡς τεκοῦσα τὸν ἁπάντων Βασιλέα·
ὅθεν σε ὑμνοῦμεν ἀεὶ ἐν σοὶ θαῤῥοῦντες.

### ᾨδὴ θ΄. **Κυρίως Θεοτόκον.**

Νῦν ἔτυχον ὁ τάλας θείας βοηθείας,
ὅτε ἠσπάσθην θερμῶς τὴν εἰκόνα σου,
ὦ θεοδόξαστε πάτερ ἡμῶν Παΐσιε.

Τὸ ὄνομά σου ὄντως τίς ἐπεκαλέσθη,
καὶ οὐκ εὐθέως αὐτοῦ τὰ αἰτήματα
πρὸς τὸν Θεὸν διεβίβασας, Πάτερ ὅσιε;

Ὡς ἔχων παῤῥησίαν, Πάτερ, πρὸς τὸν Κτίστην,
ὑπὲρ τοῦ κόσμου παντὸς καθικέτευε
εἰρήνην ἄνωθεν δοῦναι ἀπαρασάλευτον.

### Θεοτοκίον.

Νῦν φθάσαντα εἰς τέλος τῆς δεήσεώς μου,
ἀξίωσόν με, Πανύμνητε Δέσποινα,
εὐχαριστεῖν καὶ δοξάζειν καὶ μακαρίζειν σε.

### Καὶ εὐθὺς τό·

Ἄξιόν ἐστιν ὡς ἀληθῶς
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον
καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ
καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ,
τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Καὶ θυμιῶντος τοῦ ἱερέως τὸ ἱερὸν θυσιαστήριον
καὶ τὸν Ναόν, ψάλλομεν τὰ **Μεγαλυνάρια.**

Χαίροις ἡσυχίας ὁ ἐραστὴς
καὶ τῆς εὐσπλαγχνίας τοῦ Κυρίου ὁ μιμητής·
θείας γὰρ ἀγάπης πληρούμενος ἐδόθης
Θεῷ καὶ τοῖς ἀνθρώποις, πάτερ Παΐσιε.

Χαίροις τῆς ἀγάπης θεῖος κρουνὸς
καὶ τῆς συμπαθείας ἀνεξάντλητος ποταμός,
χαίροις ὁ θεράπων ψυχῶν τε καὶ σωμάτων
καὶ ὁ προστάτης πάντων, πάτερ Παΐσιε.

Γλυκύτατον ἔαρ καὶ ποθεινὸν
ἐφάνης, Παμμάκαρ, ἐν χειμῶνι τῶν πειρασμῶν·
πᾶσι γὰρ παρέχεις θερμὴν παραμυθίαν,
χαράν τε καὶ ἐλπίδα, πάτερ Παΐσιε.

Πάτερ, τὴν Παρθένον ἑωρακὼς
πολλάκις ἐν βίῳ ἀνεβόας ἐξεστηκώς·
Μῆτερ τοῦ Θεοῦ μου, Παντάνασσα Μαρία,
τῇ σκέπῃ σῶν πτερύγων σκέπε τὸν κόσμον σου.

Πρόσωπον πρὸς πρόσωπον νῦν ὁρῶν
τὸν ὡραῖον κάλλει παρὰ πάντας υἱοὺς βροτῶν,
Χριστὸν τὸν Σωτῆρα ὑπὲρ ἡμῶν δυσώπει
συγχώρησιν πταισμάτων ἡμῖν δωρήσασθαι.

Πρόσδεξαι δεήσεις σῶν ἱκετῶν,
τῶν ἀπὸ περάτων εἰς τὸν τάφον σου τὸν σεπτὸν

πίστει ἐρχομένων καὶ ἀποτιθεμένων
τοὺς πόνους καὶ τὰς θλίψεις, πάτερ Παΐσιε.

ᾨδὰς εὐχαριστίας ἡ σὴ Μονή,
Παΐσιε πάτερ, ἀναπέμπει σοι εὐλαβῶς
ἀντὶ τῶν ἀμέτρων μεγάλων δωρημάτων,
ἅπερ αὐτῇ πλουσίως παρέσχες, Ὅσιε.

Ἁγίων Καππαδόκων σεπτὴ δυάς,
Παΐσιε πάτερ καὶ Ἀρσένιε ἱερέ,
ῥύσασθε κινδύνων τοὺς πίστει ἐκζητοῦντας
ὑμῶν τὴν προστασίαν, τὴν ἀπροσμάχητον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἶτα τὸ **Τρισάγιον.**
Καὶ εὐθὺς τὰ **Τροπάρια.**
**Ἦχος πλ. β΄.**

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς·
πάσης γὰρ ἀπολογίας ἀποροῦντες,
ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ
οἱ ἁμαρτωλοὶ προσφέρομεν· Ἐλέησον ἡμᾶς.

**Δόξα.**

Κύριε, ἐλέησον ἡμᾶς·
ἐπὶ σοὶ γὰρ πεποίθαμεν·

μὴ ὀργισθῇς ἡμῖν σφόδρα,
μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν,
ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος
καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν·
σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου·
πάντες ἔργα χειρῶν σου
καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

**Καὶ νῦν. Θεοτοκίον.**

Τῆς εὐσπλαγχνίας τὴν πύλην
ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε·
ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσωμεν·
ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·
σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἐκτενὴς ὑπὸ τοῦ ἱερέως.

**Ἀπόλυσις** ἄνευ τοῦ **Δι᾽ εὐχῶν.**
Καὶ εὐθὺς τὰ **Τροπάρια.**
**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Σπεῦσον, ἐπιφάνηθι ἡμῖν
τοῖς ἐν στεναγμοῖς καὶ δακρύοις
ἐπιζητοῦσι θερμῶς,
ἅγιε Παΐσιε, τὴν μεσιτείαν σου,
καὶ παράσχου τὴν ἴασιν ψυχῶν καὶ σωμάτων,
πᾶσαν δὲ ἐπίνοιαν δαιμόνων σύντριψον·
ἵνα εὐχαρίστῳ καρδίᾳ
σὲ τιμῶμεν, ὅσιε Πάτερ,
καὶ τὸν σὲ δοξάσαντα δοξάζωμεν.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν...

**Δίστιχον.**

Δέχου δέησιν τῆς Μάνδρας ἥνπερ σκέπεις
Σὺν Θεολόγῳ καὶ θείῳ Ἀρσενίῳ.



# ΜΟΥΣΙΚΟΝ ΠΑΡΑΡΤΗΜΑ

ΜΕΛΟΠΟΙΗΣΙΣ ΥΠΟ ΤΗΣ ΑΔΕΛΦΟΤΗΤΟΣ
ΤΟΥ ΙΕΡΟΥ ΗΣΥΧΑΣΤΗΡΙΟΥ

## Εἰς τὸν Μικρὸν Ἑσπερινόν.

### Δόξα. Ἦχος $\overset{\lambda}{\pi}$ Νη




ε ε τρους του Θε ε ου ου ευ ερ γε
ε ε σι ι ι ι ας ο δε πλου σι ο
δω ρο ο ο ος Δε ε σπο ο ο τη ης
σε τον ευ γνω μο να α δου ου ου λον με
γι ι στων χα α ρι ι ι σμα α α α α
των ε πλου ου τι ι σε πα α τε ερ Πα α ι
ι ι σι ι ι ι ε του πε ρι θα α α
αλφαι τε τραυ μα τι σμε ε ε νας ψυ υ υ χας
εν τη καθ η μα α α ας γε νε ε
α και νυ υ υν αυ το ον ι ι ι κε ε
ε ε τευ ε ε ε ε ε ε ε ε ε ε ε ε




Εἰς τὸν Στίχον. Δόξα. Ἦχος Δι




ι ι ι ι σι ι ι ι ον ου ου ου
τος τω πυ ρι της α α γα α α πης ως
λαμ πας α α να λω ω θει ει ει εις νυν πα ρι
ι ι στα α α α ται τη υ περ φω
ω ω ω τω ω Τρι α α α α δι υ περ
η μων πρε ε σβε ε ευ ων ο πως λα βω
μεν φως θε ι κη ης ε πι γνω ω ω
ω ω ω σε ε ως

## Εἰς τὸν Μέγαν Ἑσπερινόν.

**Δόξα. Ἦχος πλ. δ΄ Πα**




ος ου ου τος δι α γω ων ε ε πι γης
ως εν ου ου ρα α α νω ε πο λι τε
ε ευ ε ε ε ε το ου δο ο λως πε
ρι των γη ι νω ων με ρι μνω ω ω ων αλ
λα του Κυ ρι ι ι ου α ει ει κα α
τα α τρυ υ φω ων και τω φω τι αυ του
πε ε ρι ι πα τω ω ω ω ω ηω ω ω
ω ω ω ων δι α νη στει α ας
κα α θα ρας αρ τον α αγ γε ε ε λων
ε δε ε ε ξα α α α το δι α προ
σευ χη ης α δι α λει ει ει πτου


την καρ δι ι ι ι ι ι α αν ου ρα
νο ο ο ον ε ε ποι η η η η η η η
σεν α να βα α α α α α σει εις
δε ε θει ει ει ας α να βα α ας ο μα α
κα α ο μα κα α α ρι ι ος συν τοις αγ
γε λοις α α νε με ελ πε ε ε την ι ε ε
ρα αν δο ξο ο ο λο γι ι ι ι αν α
πα ντες ουν πα α νε ευ λα α βως βο η η
σω ω ω με εν α α αυ τω ι σα
αγ γε λε Πα ι ι ι ι ι ι ι σι
ι ι ι ι ηι ι ι ι ε ποι η σο ον




Εἰς τὴν Λιτήν. Ἰδιόμελα. Ἦχος Πα




και α πο ο στο ο λου ερ γον ε τε ε λε ε
σας ο τι δι α γων εν τω ω Α α α
θω των αν θρω πων τα πλη η η θη η
ως μα γνη της προ σειλ κυ υ ες εις με τα
νοι αν ο δη γω ων και σω ω τη η η ρι
ι ι ι αν αλ λα και μαρ τυ υ ρα α σε
ε δει ει ξε ε εν η βι ι ο τη η η η
σου ο τι γεν ναι ω φρο νη μα α τι
κο πους μα κρους α σκη σε ε ως και πο νους α
σθε ε νει ει ει ας α γαλ λο ο ο με ε
ε ε νος δι α Χρι στο ο ον υ πε ε ε


μει ει ει ει νας ον ι χε τε ευ ε σω θη
ναι τας ψυ χα α ας η η η η μων

## Ἦχος Δι


Της πα νευ φη μου Ευ φη η μι ι ι ας
την μνη μη η ην ε ε ε ορ τα α σας
προς ου ρα νι ι ι ους α νε ε ε πτη
ης μο ο ο νας ο σι ε πα α α α
τερ Πα ι ι ι ι σι ι ι ι ε
ε ε εν θα σε υ πε δε ξα αν το η πα
νε ε ε εν δο ο ξος Μα α α αρ τυς ην πα
λαι υ πε ε δε ε ε ξω εν τη πτω χη η


σου ου ου κα λυ υ υ βη και ο Ο σι ος
Α α αρ σε ε νι ι ος ου τον βι ον
τον ε εν θε ε ον α α πο παι δο ος
ε ε ε μι μη η θης και τοις πα α σι ιν
ε φα νε ε ρω ω ω ω σας αλ λα και
αι νυν τρι ας Α γι ι ι ι ων σε πτη η η
η Αρ σε νι ε θε ο ο φο ο ο ρε
Πα ι σι ι ι ε ε ε θε ο ο φρον
και α θλη φο ρε ε ε Ε ε ευ φη μι
ι ι α τας δε η σεις η μων ο μου
προ ο ο σα α γε ε ε τε τη Πα


να γι ι ι α α Τρι α α α α δι
αι του με νοι η η μι ιν ι λα σμον α α μαρ
τι ι ων και το με ε γα α ε ε ε
ε ε ε λε ε ος

Ἦχος Γα


Μα κα α α ρι ι ο ος ει ει ει θε ο
φο ο ο ρε ε Πα ι ι ι σι ι ι ι ε ο
τι τον ω ραι αι αι αι ον καλ λει ει κα τι
δει ειν η ξι ι ω ω ω θης Χρι στο ο ον το ον
Θε ε ο ο ον ο λον φω ω ως ο ο λον γλυ
υ κα α σμο ον ο λον ω ραι ο ο ο τη τα α


Α α α φρα α α α στο ον ο θεν ε
ξε ε στη η χω ω ως ε βο ο ας
λε ε ε ε γω ων πω ω ω ως την λαμ
πρα α αν σου ου ο ο ο φιν Φι λα αν
θρω ω ω ω πε αν θρω ποι εμ πτυ υ υ υ
σαι αι ε τολ μη σα αν πω ω ως δε Ε γω ω
ο α θλι ι ος ταυ της της θε α ας η ξι ι
ω ω ω θην δι ην παν τα ας του ους α
γω ω ω ω νας των απ αι ω νο ος α α
σκη η η των α ξι ον αν η η ην τι ι
να α ποι η η η η σαι αι νυ υν


δε παμ μα κα α α ρι στε ε ε Ο
ο σι ι ι ε α δι α λει ει ει ει πτωως
βλε ε ε πων τον Σω τη η η ρα Χρι ι στον
προ ο σω ω πον προ ος προ ο ο σω ω ω ω
πο ον δυ υ σω ω ω πει δε ο με ε θα
εν η με ρα κρι σε ε ως α ξι ω θη η η ναι
η η μας α κα τα γνω ω στω ω συ
νει δο ο ο τι θε α α σα α σθαι α αυ του
ου ου το προ ο σω ω πο ο ον

## Ἦχος Πα


Τι ι ις ουκ ε θαυ μα α σε Πα ι ι ι
σι ι ε ε ε ο ο σι ι ι ε το
δι α α πυ υ υ ρον της σης α α γα
α α πης και την ι ι σχυ υν της με σι
τει ει α ας σου προς Κυ υ υ ρι ι ι ι ον
ομ μα τι ευ σπλα α αγ χνω ε ω ρας του ου ους
πα α α σχο ον τας και α νι ι α τα α
πα α α θη ε θε ε ρα α πε ε ευ
ο ο ο ον το εν τη θερ μη η η η
σου αγ κα α α α α α λη δαι μο νων


τας πε ρι ε σφι ιγ γε ες και τα δαι μο
νι α φρι ιτ το ον τα ε φυ γα δε ε ευ
ο ο ο ον το πυ ρι νη γλωσ ση ε λα
α α λεις και Αι χαρ δι ι ι ι ι αι ηλ
λοι ου ου ου ουν το ο τη θει α ε νερ
γει α α τω ων λο ο ο γω ω ω ων σου
και νυν α νω ω θεν η μας προ ο φθα α α α α
νεις σω ζων εκ κιν δυ υ υ νω ων συμ φο ρω ων
και θλι ι ψε ε ε ων δι ο ευ χα ρι
στη ρι ο ο ον αι αι αι αι νον Θε ε ε
ω προ σα α γο ο με εν λε ε ε γο ο


ο ον τες ευ λο γη το ο ος ο ο Θε
ε ε ος ο δω ρη σα α με ε νος η η
μιν ι α τρον και προ ο στα α α την και
πρε ε ε σβυν α α κοι μη η το ον

## Ἦχος λ π Νη


Τα δε ε λε ε ε γει Πα ι σι ος ο θε η η
γο ο ο ρος προς τον νο μον του Σω
τη η η ρος Χρι ι στου κα τευ θυ υ υ
νω ων η η η μας μα κα ρι οι ε ε
στε ε αν α γα πην και τα πει νω σι ι ιν
κτη ση η σθε ε ο τι του Α γι ου ου


Πνε ε ευ μα α α α τος οι κη τη η
ρι ι ον γε ε νη η η σε ε ε ε
σθε μα κα ρι οι ε ε ε στε ε ε αν
ε αυ τους αρ νη ση η σθε και τον πλη σι
ον α να παυ ση η τε ε ο τι της ον τως
α να παυ σε ε ως α α πο ο λα α α
α αυ σε ε ε ε τε χαι ρε ε τε ε
και α γα αλ λι ι α α α σθε οι τας θλι
ψεις και α δι κι ι ι ας ευ χα ρι στως
υ πο ο ο με νο ον τε ες ο τι μι
μη ται γε γο να α τε Χρι ι στου ου ου ου ου




**Δόξα.** Ἦχος πλ. α΄ Πα




ο φο ρου ου ου Πα α α ι ι σι ι ι
ου ου ου ου ου ου ου ου και πνευ μα τι
κως ε ορ τα ζο ον τε ες αυ τω ω βο ο
η η σω ω ω μεν χαι αι ροις ο α σι
γη η τω ως τον Θε ε ον δο ξο λο γη η η
η σα α ας θει ω ω ε ε ρω τι
ι τρω ω ω θεις χαι αι αι ροις ο δα
πα νη η σα ας σε ε ε α αυ τον υ πε ερ
του ου ου πλη η σι ι ι ον τη φλο γι
της α γα α α πη ης πυρ πο ο ο
λη η θει εις χαι αι αι ροις ο πα αν τας πα


ρα μυ θη η η η σα ας πει ει ει θων κα
τα φρο ο νειν τω ων μα ται αι αι αι ων
και της ψυ χης το ο ομ μα α ε ε χειν
προς πα τρι ι ι δα την ου ρα α α
α α νι την ου ρα α α νι ο ο
ο ο ο ο ο ο ον ε εν θα η ο ο
ο ον τως χα α ρα α και αι αι πα ρα α
μυ υ θι ι ι ι ι α χαι αι αι ροις
ο την οι κου με νη ην στη η ρι ι ι
ζων ταις θει αι αις δι ι ι δα α χαις και ταις
πρε σβει αις σου ου ου προς Κυ υ υ ρι ι ι


ι ον αυ το ον μη η πα αυ ση η ι
χε τε ε ε ε ε ευ ων δε ο ο ο
με ε ε ε θα α ο σι ε Πα α ι
ι ι σι ι ι ι ι ι ι ε οι
κου με ε ε ε νης φω ω στη ηρ φα ει
νο ο τα α τε ε ε ε ε ε ε ε ε
ε ε δω ρη θη ναι ει ρη νην τω κο ο ο
σμω ω και ταις ψυ χαις η μων το με ε γα ε
ε ε λε ε ε ε ος

## Εἰς τὸν Στίχον.

### Δόξα. Ἦχος πλ Νη




αρ τω των λο ο γω ων σου ε ξε ε ε
θρε ε ε ε φας δι ψω ω ω ω ων
τας τω καυ σω νι τω ων θλι ι ι ι ι
ι ι ψε ων υ δωρ α να πα α αυ
σε ε ε ε ω ω ως ε πο ο ο τι ι ι ε πο
ο τι ι σας γυ μνου ου ου ους α ρε ε
των τη στο λη ε ε νε ε δυ υ υ
σας της ε να α ρε ε του πο λι τει ει ει
ει ας ξε ε ε ε νοις πα τη η η η ηρ α
δε ελ φος και μη τη η ηρ γε γο ο να ας
νο σου ου ουν τα ας δι εν τε ευ ξε ε
ως ε θε ρα α α α πε ε ε ευ σα ας


ε τι ι δε και νε κρου ου ους κα τα κρι ι
ι ι ι τους ε πε σκε ε ε ε ε ε
φω ο σι ε ε Πα α α τερ α να φυ
χην α αυ τοι οις ταις ευ χαι αις σου χα α ρι
σα α α α α α με ε ε ε νος και
νυ υ υν κλη ρο νο ο ο μος γε ε ε
νο με ε νο ος της Χρι στου ου βα σι ι
λει ει ει α ας ου παυ η ευ ερ γε ε ε
τω ων και ι ω με νος τα α πα α α
θη των φυ χω ων και των σω μα α α α
α α τω ων η η η μω ω ω ων

## Εἰς τὸν Ὄρθρον.

**Μετὰ τὸν Ν΄. Ἰδιόμελον.** Ἦχος πλ Πα




μα α των τοις με λιρ ρυ τοις λο ο ο ο
γοι οις και τοις να μα σι τω ω ων θαυ μα
α τω ων α α αυ του ως πα ρον τα
δε ο ο ρω ω ων τες τον η με ε
τε ε ρον προ ο στα α α τη ην αυ τον
ι ι ι χε τε ευ σω ω ω ω μεν ο σι
ι ε Πα α α τερ πρε σβευ ε Χρι στω
ω ω τω Θε ε ω ω ω ω ω ω ω ω ω
ω ω σω θη ναι τα ας ψυ χα α ας η η
η η μω ω ω ω ων

## Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος πλ. α' Πα




κο σμι ι ο ον υ πε ερ ε ε πλου ου ου ου
ου τη σας ον και φυ υ λα α α α ατ των
νη φου ση καρ δι ι ι ι α εν τοις τα
μι ει ει οις της η η συ χι ι ι ι
ας εξ αρ χον τι κη η ης α α γα α α α
πης με τα πο ο ο νου δι ι ε ε
ε ε νε ε ε ε μες ερ γοι οις λο ο ο
γοις με γι ι στοις θαυ μα α σι ι κα τα
πλου τι ι ι ζω ων το ο ον κο ο ο ο
σμον και νυ υ υν θε ο δο ξα α στε ε ε
Πα ι ι ι ι ι ι ι ι ι Πα ι


σι ε α πο λα α α α α αυ ω
ων των πα ρα Θε ου η τοι μα σμε νω ων
α α γα α θων τοις α γα πω ω ω
σι ιν α α αυ τον πρε σβευ ε υ υ
περ η μω ω ω ων ο ο ο πως κα λως
τον πα ρον τα α βι ι ι ι ον πραγ μα
τευ σα α με ε νοι κτη σω ω ω
με ε ε ε θα αν τι των ε πι ι
γει ει ων τα ε ε που ρα α νι ι α
α α α

Η ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΠΑΪΣΙΟΥ ΤΟΥ ΑΓΙΟΡΕΙΤΟΥ
ΚΥΚΛΟΦΟΡΗΣΕ ΤΟΝ ΙΟΥΝΙΟ ΤΟΥ 2015
ΓΕΝΙΚΗ ΕΠΙΜΕΛΕΙΑ-ΣΧΕΔΙΑ-ΕΙΚΟΝΕΣ
Ι. ΗΣΥΧ. «ΕΥΑΓΓ. ΙΩΑΝΝΗΣ Ο ΘΕΟΛΟΓΟΣ»
ΕΚΤΥΠΩΣΗ: Γ. ΣΚΟΡΔΟΠΟΥΛΟΣ
ΒΙΒΛΙΟΔΕΣΙΑ: Ι. ΤΡΙΚΑΛΙΑΡΗΣ

Ἀριθμὸς ἐκδόσεως
*41α*